τότε dub. corr. Henrichsen) : em. Mein. : traditum def. Xydas | de *Χάριτές τε καὶ Ὧραι* vid. Allen, Halliday, Sikes, Hom. Hymns 228, Xydas ad loc.
3 *οἷα φοροῦσ'* codd. : corr. Köch. : *ὅσσα φέρουσ'* Hecker : *οἷα φιλοῦσ'* Wil. : *οἷαν ἔχουσ'* Xydas, Kypriakai Spoudai 44, 1980, 79ss | *ὧραι* (*Ὧραι* Allen, Xydas)] *αὐταί* Mein. || **5** *ἡδεῖ* A || **6** *αἰθέσι* Ludw., vid. *αἴθεσι· λαμπροῖς* Sud. II 165, 8 Adler, An. Bachm. 43, 24, Phot. *α* 573 (I 66 Theodoridis, cui corruptum videtur) non de *αἶθος*, sed de *αἰθής*, cf. Cratin. fr. 95 Kassel–Austin : *ἄνθεσι* A : *ἄνθους* Schweigh. : *εὐανθέος* Kaib. | *καλλιπνόου* Ludw. (cf. Mosch. Europ. 65 *νάρκισσον ἐύπνοον*) : *καλλιρρόου* codd. (traditum def. Hurst, Živa Antika 26, 1976, 23ss) : *καλλίρρου* Dind. : *καὶ λειρίου* Mein. (qui postea lac. stat.) : *καλλιχρόου* Daléchamp : *καλλίχρου* vel *καλλιδρόσου* Schweig. : *ναρκίσσου ⟨θαλεροῦ⟩ καὶ λειρίου, ⟨οἷά τε γαῖα ὥραις εἰαριναῖς φύει ἄνθεα⟩* Köch. | *ὧδ'* Ludw. : *δ'οια* A : *διοια* B : *οἷ'* Canter : *δῖ'* Casaub. : *τοῖ'* Mein. || **7** *ὥραις* (hic 'Liebreiz' Ludw.)] *ἄνθεσι* Köch. : *ὀδμαῖς* Mein. | *παντοίοις* Köch. | *ἔσται* Mein. | de re cf. Stinton, Euripides and the Judgement of Paris, London 1965, 61 adn. 3 | ap. Hymn. Cer. 6ss, 426ss, Mosch. Europ. 65ss similes florum catalogi inveniuntur, de re cf. Bühler ad Mosch. Europ. 65ss (p. 110); Richardson, The Homeric Hymn to Demeter 140ss || **5** **1** *φιλομειδὴς* A : corr. edd. | de re cf. Eust. in Il. p. 439, 37 *ὡς Βοιωτικῶς διὰ τῆς ει διφθόγγου τὴν παραλήγουσαν γράφεσθαι διπλάζει τὸ μῦ διὰ μέτρον κατά τινα τῶν ἀντιγράφων, ὡς ἂν οὕτως ἡ τοῦ στίχου λαγαρότης μεστωθῆι πρὸς μέτρον ἄρτιον*, vid. et. Schol. Dion. Thr. 511, 24ss Hilgard, cf. et. Chantraine, Dict. Etym. s. v. *μειδιάω* | post *Ἀφροδίτη* lac. stat. Mein. : traditum recte def. Braswell, Glotta 60, 1982, 221ss

πλεξάμεναι στεφάνους εὐώδεας ἄνθεα ποίης
ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,
Νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσέη Ἀφροδίτη,
καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης.

6 (5a B.)

collum marmoreum torques gemmata coronat.

7 (5b B.)

penetrat penitus thalamoque potitur.

6 NAEVIUS Cypria Ilias ap. Charis. 184 Barwick (51 Morel) haec torques ... itaque dixisse veteres Caper his exemplis docet: Naevius (Ninnius *Scriverius prob. Barwick*: Laevius *Keil*) Cypriae Iliadis libro I 'collum – coronat' || 7 NAEVIUS Cypria Ilias ap. Priscian. I 502 H. (51 Morel) Naevius (Ninnius *Scriverius*: Laevius *Vossius*) in Iliadis secundo 'penetrat – potitur'

2 Hes. Th. 576 *στεφάνους νεοθηλέας ἄνθεα* (v. l. *ἄνθεσι*) *ποίης* | *ι* 449 *ἄνθεα ποίης* (cf. Hymn. Hom. 30, 15 Apoll. Rhod. 1, 1143 Dion. Perieg. 756 Oppian. Cyneg. 2, 198 Nonn. Dion. 14, 172) || 3 Hes. Th. 805 *ἔθεντο θεοί* | *Σ* 382 *Χάρις λιπαροκρήδεμνος* (cf. Hymn. Cer. 25 al.) || 4 Hymn. Ven. 95–97 *ἤ πού τις Χαρίτων ... / ἤ τις νυμφάων* | Hes. fr. 291, 1 M.-W. *νύμφαι Χαρίτεσσιν ὁμοῖαι* | *X* 470 Hymn. Ven. 93 *χρυσέη Ἀφροδίτη* (dat. *T* 282 al. *ϑ* 337 al. Hes. fr. 30, 25 M.-W.; genet. *Γ* 64 *δ* 14 Hes. Th. 975 Mimn. fr. 7, 1 Gent.-Prato) || 5 *A* 473 *καλὸν ἀείδοντες* (*ἄειδεν* Hymn. Merc. 54, cf. 502) | Hes. Op. 428 al. *κατ' ὄρος* | *Ξ* 157 al. *πολυπίδακος* (v. l. -*ου*) *Ἴδης* | Hymn. Ven. 54 *ὄρεσιν πολυπιδάκου Ἴδης*

2 *πλεξαμένη* edd. pr. | de re cf. Braswell ib. 223 adn. 18 | *ποίης* Hecker: *γαίης* A | de re cf. West ad Hes. Th. 576 | post vers. 2 lac. stat. Kink. || 3 *κεφαλῇσιν* mal. Mein. | de *κεφαλαῖσιν* vid. Wack., Sprachl. Unters. 183 || 4 *χρυσῇ* A: corr. Mein. | vid. Allen, Halliday, Sikes ad Hymn. Ven. 95–97 || 5 *πολυπίδακος* mal. Xydas: -*κου* est ap. Hymn. Ven. 54, Plat. Leg. 681e, Strab. 13, 1, 43 p. 602, Apoll. Soph. 131, 25 Bek., Hesych. | de re cf. Schol. Hom. *Ξ* 157 (III 593 Erbse) *Ἀρίσταρχος πολυπίδακος, ἄλλοι πολυπιδάκου ... τὸ διὰ τοῦ ου γράφειν τελέως ἄγροικον*, cf. et. Allen, Hall., Sikes ad Hymn. Ven. 54 (cf. *φύλαξ / φυλακός, μάρτυς / μάρτυρος*); Ludw., Arist. Hom. Textkr. 370s; Valk, Researches II 187 || de fr. cf. et. Boedeker, Aphrodite's Entry into Greek Epic, Lugduni Batavorum 1974, 28; 46s || 6 item de Venere ad subeundum Paridis iudicium sec. Welck., Ep. Cyclus II 520s; Morel ad loc. || 7 'agi credo de Paridis adulterio cum Helena commisso' Morel, vid. et. Welck., Ep. Cyclus II 520

8 (5 K., 6 A., B., 10 X.)

Κάστωρ μὲν θνητός, θανάτου δέ οἱ αἶσα πέπρωται,
αὐτὰρ ὅ γ' ἀθάνατος Πολυδεύκης, ὄζος Ἄρηος.

9 (6 K., 7 A., B., X.)

τοὺς δὲ μέτα τριτάτην Ἑλένην τέκε θαῦμα βροτοῖσι·
τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα
Ζηνὶ θεῶν βασιλῆϊ τέκε κρατερῆς ὑπ' ἀνάγκης·
φεῦγε γὰρ οὐδ' ἔθελεν μιχθήμεναι ἐν φιλότητι

8 Clem. Alex. Protr. 2, 30, 5 *προσίτω δὲ καὶ ὁ τὰ Κυπριακὰ ποιήματα γράψας·* [1–2]. *τοῦτο μὲν ποιητικῶς ἐψεύσατο* || cf. Schol. Hom. *λ* 300 (502, 2 Dind.) *τούτων ὁ μὲν Πολυδεύκης ἀπὸ τοῦ θείου σπέρματος ἱστορεῖται γενέσθαι, ὁ δὲ Κάστωρ ἀπὸ Τυνδάρεω,* Schol. Hom. *λ* 299 (501, 15 Dind.) *μετὰ δὲ τὸ γαμηθῆναι τῶι Τυνδάρεωι τέτοκε* (sc. *Λήδα*) *τοὺς Διοσκούρους, ἐκ μὲν Διὸς Πολυδεύκην, ἐκ δὲ Τυνδάρεω Κάστορα,* Eust. in Od. p. 1686, 22 *τούτων δὲ κατὰ τοὺς νεωτέρους Πολυδεύκης μὲν θείου αἵματος λέγεται εἶναι, Κάστωρ δὲ θνητοῦ, τοῦ Τυνδάρεω γάρ* || 9 Athen. 8, 334b *ὁ τὰ Κύπρια ποιήσας ἔπη* . . . (seq. Test. 9) *τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς καὶ εἰς ἰχθὺν μεταμορφουμένην διὰ τούτων·* [1–12] || cf. Eust. in Il. p. 1321, 38 *τὸ δὲ ζητεῖν ἐξ ὁποίου ᾠοῦ οἱ Διόσκουροι καὶ αὖ πάλιν οἱ Μολιονίδαι, μῦθος ἂν φιλοίη, ὃς οὐδὲ τὴν Λήδαν ἀφίησιν εἶναι αὐτοῖς μητέρα, λέγων διὰ τοῦ ποιήσαντος τὰ Κύπρια, ὅτι Διοσκούρους καὶ Ἑλένην ἡ Νέμεσις ἔτεκεν, ἣ διωκομένη, φησίν, ὑπὸ Διὸς μετεμορφοῦτο*

8 1 *Ω* 428 al. *ἐν θανάτοιό περ αἴσηι* | Bacchyl. 17, 26s *πεπρωμέν*[*α*]*ν* / *αἶσαν* (cf. Simon. 14 fr. 79, 5 Page, Aesch. Prom. 103–104) || 2 *Γ* 328 al. *αὐτὰρ ὅ γ'* | *B* 540 al. *ὄζος Ἄρηος* (cf. Pind. Nem. 10, 80ss) || 9 1 Hes. fr. 26, 31 M.-W. *τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο* (cf. *ο* 147 al. Naup. fr. 1, 1) | *λ* 287–288 *τέκε, θαῦμα βροτοῖσιν, / τήν* . . . (cf. *μ* 125 Hymn. Apoll. 25) | Hes. Th. 500 *θαῦμα* . . . *βροτοῖσιν* || 2 *τ* 266 *τέκηι φιλότητι μιγεῖσα* (cf. Hes. Th. 125 Hymn. Merc. 3–4) | Hes. Th. 333 al. *φιλότητι μιγεῖσα* (cf. *B* 232 al.) || 3 Hes. Th. 886 *Ζεὺς δὲ θεῶν βασιλεύς* (cf. Hes. Th. 486 al. Theb. fr. 3, 3 Hymn. Cer. 358 Pind. Ol. 7, 34 al. Apoll. Rhod. 4, 558) | *δ* 93a (e schol.) Hes. Th. 517 *κρατερῆς ὑπ' ἀνάγκης* (cf. *Z* 458 *β* 110 al. Theogn. 195 Bacchyl. 11, 46 Panyas. fr. 3, 4) || 3–4 Bacchyl. fr. 20 A 19–20 *ἐδά*]*μασσε κρατερά τ' ἐκ*[*δικος ο*]*ὐ θέλοντ' ἀνάγκη*{*ι*} || 4 Hes. Th. 306 *μιγήμεναι ἐν φιλότητι* (cf. *B* 232 al. Hes. Th. 923 al.)

8 1 *θάνατον* Sylburg | *δέ*] *τέ* Wüllner | *πέπρωτο* Köch. : *μέμορται* Schndw. | de re cf. *Γ* 243s, *λ* 301–304 et schol. ad loc., Pind. Nem. 10, 56ss, Pyth. 11, 61ss, Hygin. Astr. 2, 22, Lactant. Div. inst. 1, 10, 5 (cf. fr. 15), vid. et. Seve., Cycle 280 | male interpretans hoc fr. errat Eust. in Il. p. 1321, 38ss (vid. ap. Test. ad fr. 8) || 9 1 *τοὺς δὲ μέτα* Köch. : *τοῖς δὲ μετὰ* A | de Dioscuris | *τέκε* suspectum nonnullis edd. : *τρέφε* Ahrens, prob. Xydas : *ἔχε* Hecker (de Tyndareo vel Leda dici ratus) : at *τέκε* legit Eust., qui ea de causa confudit rem (vid. ad fr. 8); immo subiectum Iuppiter est, quamquam tantum Pollucis pater est (cf. fr. 8), sed auctor usum formularem sequens errat, dicere volens 'post eorum ortum Iuppiter tertiam Helenam procreavit, quam Nemesis peperit', ergo nihil necesse est lacunam statuere post vers. 1 (quam statuerunt Welck., Allen, Bethe); de re vid. Seve., Cycle 266ss; Jouan, Euripide 147 adn. 3 || 2 cf. Paus. 1, 33, 7 *Ἑλένηι Νέμεσιν μητέρα εἶναι λέγουσιν Ἕλληνες, Λήδαν δὲ μαστὸν ἐπισχεῖν αὐτῆι καὶ θρέψαι*

πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ φρένας αἰδοῖ
καὶ νεμέσει· κατὰ γῆν δὲ καὶ ἀτρύγετον μέλαν ὕδωρ
φεῦγε, Ζεὺς δ' ἐδίωκε — λαβεῖν δ' ἐλιλαίετο θυμῶι —
ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἰχθύι εἰδομένην πόντον πολὺν ἐξοροθύνων,
ἄλλοτ' ἀν' Ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης,
ἄλλοτ' ἀν' ἤπειρον πολυβώλακα· γίγνετο δ' αἰνὰ
θηρί', ὅσ' ἤπειρος πολλὰ τρέφει, ὄφρα φύγοι νιν.

10 (8 B.)

(I) PHILODEM. De piet. (P. Hercul. 1815, 1ss, prim. ed. G. Crönert, Arch. f. Papyrusf. 1, 1901, 109) *ὧν ἣν καὶ Νέμ]ε̣σ̣ις [ἥν φη]σίν γ' ὁ τὰ Κύ[πρια γ]ράψας ὁμοιωθέ[ντ]α* (sc. *Δία*) *χηνὶ κ̣α̣ὶ αὐτ[ὸν δ]ιώκειν καὶ μιγέν[τα]ς ᾠὸν τεκεῖν, [ἐξ] ο̣ὗ*

5 Hes. Op. 259 *Διὶ πατρὶ . . . Κρονίωνι* (cf. *Β* 102 al. *θ* 289 *μ* 399 al. Hymn. Merc. 312 al.) | *Ο* 61 *τείρουσι κατὰ φρένας* (cf. *Χ* 242) || 5–6 *Ν* 121–122 *ἐν φρεσὶ θέσθε . . . / αἰδῶ καὶ νέμεσιν* | Hes. fr. 204, 82 M.-W. *νέμεσίν τ' ἀπ[ο]θ̣ε̣ῖτο καὶ αἰδῶ* | Hes. Op. 200 *Αἰδὼς καὶ Νέμεσις* || 6 Hes. Th. 413 *γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης* (cf. *Α* 316 al. *α* 72 al. Hes. Th. 695–696) | Theogn. 247–248 *καθ' Ἑλλάδα γῆν . . . / . . . πόντον ἐπ' ἀτρύγετον* (cf. Sol. fr. 1, 19–20 Gent.-Prato) | *Π* 161 *δ* 359 al. *μέλαν ὕδωρ* || 7 *Χ* 158 *ἔφευγε, δίωκε δέ . . .* | Hes. Th. 665 *δ' ἐλιλαίετο θυμός* (cf. *Υ* 76) || 8 *Ψ* 368–369 *δ* 102 al. Hes. Th. 830–831 al. Hymn. Apoll. 41–42 al. *ἄλλοτε μὲν . . . ἄλλοτε δ(έ)* | Hymn. Hom. 6, 4 Archil. fr. 13, 3 West *κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης* | *Ζ* 136 al. *κατὰ κῦμα* | *Β* 209 al. *κῦμα πολυφλοίσβοιο θαλάσσης* (cf. *Α* 34 al. Hes. Op. 648) || 9 Hes. Op. 635 *πολὺν διὰ πόντον ἀνύσσας* || 10 *λ* 639 *Ὠκεανὸν ποταμόν* (genet. *Σ* 607 Hes. Th. 242 al. Panyas. fr. °31, 2) | *Ξ* 200 al. *δ* 563 Hes. Op. 168 *πείρατα γαίης* || 11 Hymn. Apoll. 21 *ἠμὲν ἂν ἤπειρον* | *ν* 235 *ἐριβώλακος ἠπείροιο* || 12 Hymn. Ven. 4–5 *θηρία πάντα, / . . . ὅσ' ἤπειρος πολλὰ τρέφει* | Hes. Th. 582 *ὅσ' ἤπειρος . . . τρέφει* | *Λ* 741 *ὅσα τρέφει . . . χθών* | Apoll. Rhod. 3,530 *ὅσ' ἤπειρός τε φύει*

5 *αἰδοῖ*] de re metrica vid. Wil., Hom. Unters. 367, 45 || 5–6 cf. Schol. Hom. *Ν* 122 (III 422 Erbse) *αἰδῶ καὶ νέμεσιν : τὴν αἰσχύνην καὶ τὴν ἐξ ἄλλων ἀκολουθοῦσαν μέμψιν*, Eust. in Il. p. 923, 16 *ἡ μὲν αἰδὼς ἐξ ἡμῶν αὐτῶν, ἡ δὲ νέμεσις ἐξ ἄλλων* | de re vid. Scott, Acta Class. 23, 1980, 13ss; Turpin, Rev. ét. gr. 93, 1980, 352ss || 6 *καὶ Νέμεσις* Iunius : *καὶ ἡ μὲν* Schweigh. | *καταπην δὲ καὶ* A : corr. Iunius : *καὶ τόνδε κατ'* Casaub. || 7 *θυμός* Köch. || 9 *εἰδομένη* Camerarius et Iunius | *ἐξοροθύνων* Wakefield : *ἐξορόθυνεν* codd. : *ἐξοροθῦνον* Lumb || 11 post *πολυβώλακα* lac. susp. Köch. | *γίνετο* A | *αἰνὰ* Peppmüller : *αἰεὶ* codd. || 12 *θηρία ὅσσ'* A : corr. Schweigh. | *πολλὰ* Peppmüller : *αἰνὰ* codd. : *γ' αἰνὰ* Düntzer : *δεινὰ* Welck. : *ἄδινὰ* dub. Kaib. in ap. cr. || de hoc fr. vid. quae haud aequanimiter dicit Griffin, Journ. Hell. Stud. 97, 1977, 50 || 10 de hoc fr. acutissime disseruit Luppe, Philologus 118, 1974, 193ss, cf. et. Henrichs, Zeitschr. Pap. Epigr. 15, 1974, 302ss; Luppe, Philologus 119, 1975, 143s || 2 *ὧν — Νέμ]εσις* Crönert : *οεισ.* delin. | cetera suppl. Crönert | *γ'* Luppe : *τ'* delin. : del. Crönert | *Κύ[πρια γ]ράψας* Crönert || 3 *ὁμοιωθέ[ντ]α* Luppe : *ὁμοιωθῆ[ν]α⟨ι⟩* Crönert | *καὶ αὐτ[ὸν* Luppe : *Δί̣α̣ ⟨δὲ⟩ αὐτ[ὴν* Crönert : *κναυτ* delin. | *μιγέν[τα]ς* Luppe : *μιγέν[το]ς* Henrichs : *μιγῆν[αι, τὴν δ]ὲ* Crönert : *μιγον[ ]ς* delin. | cetera suppl. Crönert

γενέσθαι τὴν [Ἑλ]ένην. ὡς δὲ [Λή]δας ἐρασθεὶς [ἐγ]ένετο κύκνος || (II) APOLLODOR. Bibl. 3, 10, 7 λέγουσι δὲ ἔνιοι Νεμέσεως Ἑλένην εἶναι καὶ Διός. ταύτην γὰρ τὴν Διὸς φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν μεταβαλεῖν, ὁμοιωθέντα δὲ καὶ Δία {τῶι κύκνωι} συνελθεῖν || (III) HOMIL. CLEMENT. 5, 13, 7 (98, 5 Rehm) Νεμέσει τῆι Θεστίου τῆι καὶ Λήδαι νομισθείσηι κύκνος ἢ χὴν γενόμενος Ἑλένην ἐτεκνώσατο (sc. Ζεύς).

11 (7 K., 8 A., 9 B., X.)

(I) PAUS. 3, 16, 1 πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν· ὁ δὲ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι || (II) STEPHAN. in Aristot. Rhet. 2 p. 1397b 21 (XXI 2, 306, 24 Rabe) Τυνδάρεως καὶ Ἀφαρεὺς καὶ Λεύκιππος ἀδελφοί. ὁ δὲ Λεύκιππος εἶχε θυγατέρας δύο, Φοίβην καὶ Ἱλάειραν, ἃς οἱ Διόσκουροι ἔτι παρθένους οὔσας ἐξήρπασαν· εἰ γοῦν μὴ οἱ Τυνδαρίδαι πρῶτοι περὶ τὰς ἐξαδέλφας αὐτῶν ἐμάνησαν, οὐδ' ἂν Ἀλέξανδρος περὶ τὴν αὐτῶν ἀδελφήν. οὕτως ἐν τῶι γάμμα τὸ λεξικὸν τοῦ Ὁμήρου λέγει, εἰ καὶ ὁ Λυκόφρων (546ss) ἄλλως λέγει περί τε τούτων ἀλλὰ καὶ περὶ τῶν τοῦ Ἀφαρέως υἱῶν Ἴδου καὶ Λυγκέως.

12 (9 A., 26 X.)

SCHOL. Eur. Andr. 898 (II 305, 23 Schw.) Λυσίμαχος (FGrHist 382 F 12) καὶ ἄλλοι τινὲς ἱστοροῦσιν γενέσθαι ἐξ Ἑλένης καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας Πλεισθένην φησί, μεθ' οὗ εἰς Κύπρον ἀφῖχθαι καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Ἀλεξάνδρωι Ἄγανον.

13 (10 A. Class. Rev. 27, 1913, 190, p. 193 B., 21 X.)

(I) SCHOL. Hom. Γ 242 (Ludw., Textkr. Unt. IV 15) Ἑλένη ἁρπασθεῖσα ὑπὸ Ἀλεξάνδρου, ἀγνοοῦσα τὸ συμβεβηκὸς μεταξὺ τοῖς ἀδελφοῖς Διοσκούροις κακόν, ὑπολαμβάνει δι' αἰσχύνην αὐτῆς μὴ πεπορεῦσθαι τούτους εἰς Ἴλιον, ἐπειδὴ προτέρως ὑπὸ Θησέως ἡρπάσθη, καθὼς προείρηται· διὰ γὰρ τὴν τότε γενομένην ἁρπαγὴν Ἄφιδνα πόλις Ἀττικῆς πορθεῖται, καὶ τιτρώσκεται Κάστωρ ὑπὸ Ἀφίδνου τοῦ τότε βασιλέως κατὰ τὸν δεξιὸν μηρόν. οἱ δὲ Διόσκουροι Θησέως μὴ τυχόντες λαφυραγω-

4 κενεσθαι delin. | ὡς δὲ Luppe : ὡς δ' ἔν[ιοι Henrichs : ὥσ[π]ε[ρ αὖ Crönert : ωσδθ delin. | cett. suppl. et corr. Crönert : δασσρασθεις delin. || 7 secl. Luppe || probabiliter et. e Cypriis quae addit Apollodor. Bibl. 3, 10, 7 τὴν δὲ ὠιὸν ἐκ τῆς συνουσίας ἀποτεκεῖν, τοῦτο δὲ ἐν τοῖς ἄλσεσιν (ἕλεσιν Preller, Hercher coll. Schol. Lycophr. Alex. 88) εὑρόντα τινὰ ποιμένα Λήδαι κομίσαντα δοῦναι, τὴν δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν, καὶ χρόνωι καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατέρα τρέφειν | cf. et. Ps. Eratosth. Catast. 25, Paus. 1, 33, 7, Schol. Callim. Hymn. Dian. 232 (65 Pf.), Hygin. Astron. 2, 8 | de Helenae ortu et de Leda vid. Sapph. fr. 166 Voigt φαῖσι δή ποτα Λήδαν ὐακίνθινον ⟨. . .⟩ ὤϊον εὔρην πεπυκάδμενον, Cratin. Νέμεσ. (Kassel–Austin PCG IV 179ss), cf. et. Wil., Hermes 18, 1883, 262 adn. 1; Kerényi, Mnemosyne 7, 1939, 161ss; Ruiz de Elvira, Cuad. Filol. Clás. 6, 1974, 95ss || 11 8 Ἴδα Allen | de re cf. Schol. Hom. Γ 243 (Ludw., Textkr. Unt. IV 16), Schol. Pind. Nem. 10, 112a (III 178, 17 Drachm.), Schol. Lycophr. Alex. 511 (184, 27 Scheer); vid. et. Theocr. 22, 137ss, Apollodor. Bibl. 3, 11, 2 et Frazer adn. ad loc. || 12 2 de Nicostrato cf. Cin. fr. 3 et adn. ad loc. || 3 de συντάξας vid. Xydas 158s adn. 6 || 4 Ἀγανόν Cobet : Ἀγλαόν Schw. || de re cf. quae disseruerunt Seve., Cycle 380s; Jac. ad FGrHist 382 F 12; Xydas 158ss || 13 4 ὡς γὰρ ἱστορεῖ Ἑλλάνικος κτλ. e Schol. Hom. Γ 144 huc trad. Wassenbergh || 5 Ἀφίδνου Bek. : Φίδνου AVY[b] : Φνίδου D[c]F[r]JWY : Φνιδοῦ U[b]

γοῦσι τὰς Ἀθήνας. ἡ ἱστορία παρὰ τοῖς πολυωνύμοις ἢ τοῖς κυκλικοῖς, καὶ ἀπὸ μέρους παρὰ Ἀλκμᾶνι τῶι λυρικῶι (fr. 21 Page) || (II) Apollodor. Bibl. 3, 10, 7 γενομένην δὲ αὐτὴν (sc. Ἑλένην) κάλλει διαπρεπῆ Θησεὺς ἁρπάσας εἰς Ἀφίδνας ἐκόμισε. Πολυδεύκης δὲ καὶ Κάστωρ ἐπιστρατεύσαντες, ἐν Ἅιδου Θησέως ὄντος, αἱροῦσι τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι, καὶ τὴν Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον || (III) Apollodor. Epit. 1, 23 Θησεύς, Πειρίθωι συνθέμενος Διὸς θυγατέρας γαμῆσαι, ἑαυτῶι μὲν ἐκ Σπάρτης μετ' ἐκείνου ἥρπασεν Ἑλένην δωδεκαέτη οὖσαν, Πειρίθωι δὲ μνηστευόμενος τὸν Περσεφόνης γάμον εἰς Ἅιδου κάτεισι. καὶ Διόσκουροι μὲν μετὰ Λακεδαιμονίων καὶ Ἀρκάδων εἷλον Ἀθήνας καὶ ἀπάγουσιν Ἑλένην καὶ μετὰ ταύτης Αἴθραν τὴν Πιτθέως αἰχμάλωτον || (IV) Diod. 4, 63 (Πειρίθους) καταλαβὼν δὲ τετελευτηκυῖαν τὴν γυναῖκα τοῦ Θησέως Φαίδραν ἔπεισεν αὐτὸν ἁρπάσαι τὴν Λήδας καὶ Διὸς Ἑλένην, δεκαετῆ μὲν τὴν ἡλικίαν οὖσαν, εὐπρεπείαι δὲ πασῶν διαφέρουσαν. παραγενόμενοι δ' εἰς Λακεδαίμονα μετὰ πλειόνων, καὶ καιρὸν εὔθετον λαβόντες, ἥρπασαν τὴν Ἑλένην κοινῆι καὶ ἀπήγαγον εἰς τὰς Ἀθήνας. . . . φοβηθεὶς ὁ Θησεὺς ὑπεξέθετο τὴν Ἑλένην εἰς Ἄφιδναν || (V) vas Homericvm prim. ed. Koumanoudis, Ephem. 1884, 59ss (cf. Sinn, Die Homerischen Becher, Berlin 1979, 101s = MB 37) (a) Ἑλένη / Θησεύ[ς] / Πε[ ]υσ[ ] (b) Θησεὺς ἁρπάσας τὴν Ἑλένην, πρῶτον μὲν αὐτὴν εἰς Κόρινθον, εἶτεν εἰς Ἀθήνας . . . . εκτου . . . μρη . . . ταῖς . . . καὶ . . . α . . . . (c) Κόρινθο[ς] (d) κρ 'α / Πε[ι]ρ[ίθ]ος / Θη[σεύς] / Ἀθῆν[αι].

14 (8 K., 12 A., 10 B., 8 X.)

Herodt. 2, 117 ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέι τε πνεύματι χρησάμενος καὶ θαλάσσηι λείηι· ἐν δὲ Ἰλιάδι (*Z* 289ss) λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. unde Eust. in Il. p. 643, 1

7 τοῖς πολυωνύμοις Valk (cf. Researches I 351) hanc historiam ab Hellanico, non a Cypriorum auctore narratam credens : τοῖς τελαμωνίοις (-μονίοις F[r])JV[b]F[r] : τοῖς λεμωνίοις D[c]Y : τοῖς λειμωνίοις E[b] : om. L[d] : Πολέμωνι ἤτοι κυκλικοῖς Fabricius (cf. et. Valck., Opusc. II 123) || 14 de re cf. Schol. Hom. *Γ* 140, *H* 392, *N* 626, Hellanic. FGrHist 4 F 134 (= Schol. Hom. *Γ* 144), Paus. 1, 41, 4, cf. et. Frazer adn. ad Apollodor. l. l.; Seve., Cycle 271ss | vid. et. fragmentum epicum anon. ap. Plut. Thes. 32 τὸν ἐν εὐρυχόρωι ποτ' Ἀφίδνηι / μαρνάμενον Θησεὺς Ἑλένης ἕνεκ' ἠυκόμοιο / κτεῖνεν, quod Allen, Class. Rev. 27, 1913, 190, mea sententia errans, habet pro Cypriorum fr. || 14 vid. quae praecedunt ap. Test. 4 | patent vestigia versuum epicorum, unde versus multi restituere conati : εὐαέι τε / πνεύματι χρησάμενος λείηι τε θαλάσσηι Müller : ἀνέμωι εὐαέι καλῶι Schndw. : εὐαεῖ ἀνέμων πνοιῆι λείηι τε θαλάσσηι Stein : πνοιῆι χρησάμενός τ' εὐαέι ἠδὲ θαλάσσηι / λείηι ἄγων Ἑλένην εἰς Ἴλιον ἦλθε τριταῖος vel εὐαέος τ' ἀνέμοιο τυχὼν λείης τε θαλάσσης / ἦλθε τριταῖος ἄγων Ἑλένην ἐς πατρίδα γαῖαν (vel εὐαέος πνοιῆς τε – εἰς Ἴλιον ἱρήν) Ribbeck : tres versus rest. Friedeman ap. comm. in Strab. I p. 336 || haec historia et Procli epitoma (χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα κτλ.) inter se differunt; cum Proclo consentiunt Apollodor. Epit. 3, 4, Dictys 1, 5, Iliadis argum. Borbon. (I 239 Wagner), est etiam Homerica traditio (*Z* 289ss); cum Herodoto Alcidam. Ulix. 13s, Colluth. 389s. quaestionem diverse expedire conantur viri docti : (a) errat Herodotus (Heyne); (b) errat Proclus, Homeri historiam sequens (Wüllner; Welck., Ep. Cyclus 93ss; Rob., Heldens. 1083ss; Ghali-Kahil, Les enlèvements et le retour d'Hélène, Paris 1955, 30); (c) duo carmina sunt Cypria intitulata : unum Cyprii auctoris, quod Proclus compendiat, alterum Halicarnassensis poetae, quod Herodotus laudat (Hux., Greek Rom. Byz. Stud. 8, 1967, 25ss; Greek epic 134, qui pro Cypriorum fr. habet Steph. Byz. s. v. Σαμυλία [554, 5 Mein.]· πόλις Καρίας, Μοτύλου κτίσμα τοῦ τὴν Ἑλένην καὶ Πάριν ὑποδεξαμένου, sed Καρικῶν Apollonio Letopol. adtribuit

15 (9 K., 11 A., B., X.)

αἶψα δὲ Λυγκεὺς
Τηΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς.

15 (I) Schol. Pind. Nem. 10, 114a (III 179, 4 Drachm.) ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδε Λυγκεὺς δρυὸς ἐν στελέχει ἥμενος] ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῆι ἐν τοῖς Κυπρίοις λεγομένηι ἱστορίαι· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῆι δρυῒ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῆι δὲ αὐτῆι γραφῆι καὶ Ἀπολλόδωρος (FGrHist 244 F 148) κατηκολούθησε. πρὸς οὓς φησι Δίδυμος (p. 236 Schmidt)· ἀμφοτέρων (⟨πῶς⟩ ἀμφ. Bergk) ὑπὸ τῆι δρυῒ λοχώντων, τοῦ τε Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον (⟨μῶν⟩ μόνον Mommsen : ⟨πῶς⟩ μόνον Wil.: fortasse ⟨πῶς τούτωι τῶι τρόπωι λοχήσαντα⟩ μόνον Schmidt) ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε; ... παρατίθενται (παρατίθεται Bergk, sed cf. Seve., L'Ant. Class. 1, 1932, 264) δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα· [1 – 7] καὶ τὰ ἑξῆς. b ὁ μὲν οὖν Κάστωρ ἐλόχα τὸν Ἴδαν, φησίν (φησί, ⟨σὺν Πολυδεύκει⟩ Bergk), ἐν κοίληι δρυῒ κρυφθεὶς καὶ τὸν Λυγκέα· ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὤν, ὥστε καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα (δρυὸς ⟨τὸν Κάστορα, ἐμήνυσε τῶι Ἴδαι· καὶ ἐκεῖνος σὺν τῶι Λυγκεῖ παραγενόμενος⟩ τὸν Κάστορα Mommsen : δρυὸς ⟨ἐμήνυσε τῶι Ἴδαι, ὁ δὲ⟩ τὸν Κάστορα Bergk, fortasse recte) ἔτρωσε λόγχηι || (II) Tzetz. in Lycophr. Alex. 511 (185, 22 Scheer) τὴν δ' ἱστορίαν τῶν Διοσκούρων καὶ Στασῖνος ὁ τὰ Κύπρια πεποιηκὼς γράφει· [1 – 6] || (III) Tzetz. Chil. 2, 711 τῆς ἱστορίας μέμνηνται Λυκόφρων (511s), Εὐριπίδης (Troad. 1001, El. 312s, 991s, Hel. 1496ss, Iph. Aul. 768s), / πάντες ἁπλῶς οἱ ποιηταὶ σὺν τῶι Ἀπολλοδώρωι / καί γε Στασῖνος σὺν αὐτοῖς οὕτω τὰ ἔπη γράφων / ἡρωϊκοῖς ἐν ἔπεσι λέγων· [1 – 6] || (IV) Apollodor. Bibl. 3, 11, 2 βουλόμενοι δὲ γῆμαι τὰς Λευκίππου θυγατέρας ἐκ Μεσσήνης ἁρπάσαντες ἔγημαν· ... ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας βοῶν λείαν μετὰ τῶν Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως ἐπιτρέπουσιν Ἴδαι διελεῖν (Commelinus : διελθεῖν A)· ὁ δὲ τεμὼν βοῦν εἰς μέρη τέσσαρα, τοῦ πρώτου καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι, καὶ τοῦ δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε τὸ μέρος τὸ ἴδιον πρῶτος Ἴδας, καὶ τὸ τοῦ ἀδελφοῦ, καὶ μετ' ἐκείνου τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρατεύσαντες δὲ ἐπὶ Μεσσήνην οἱ Διόσκουροι τήν τε λείαν ἐκείνην καὶ πολλὴν ἄλλην συνελαύνουσι. καὶ τὸν Ἴδαν ἐλόχων καὶ τὸν Λυγκέα. Λυγκεὺς δὲ ἰδὼν Κάστορα ἐμήνυσεν Ἴδαι, κἀκεῖνος αὐτὸν κτείνει. Πολυδεύκης δὲ ἐδίωξεν αὐτούς, καὶ τὸν μὲν Λυγκέα κτείνει τὸ δόρυ προέμενος, τὸν δὲ Ἴδαν διώκων βληθεὶς ὑπ' ἐκείνου πέτραι κατὰ τῆς κεφαλῆς, πίπτει σκοτωθείς. καὶ Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν ἀνάγει. μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν ὄντος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις παρ' ἡμέραν καὶ ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς (νεκροῖς Hercher : fortasse τεθνηκόσιν Frazer) ἔδωκε | simillima tradit Tzetz. in Lycophr. Alex. 511 (185, 5ss Scheer) || (V) Philodem. De piet. (P. Hercul. 242 V[a] 27 + 247 V[b] 1ss pp. 7 et 18 Gomperz, vid. et. Henrichs, Zeitschr. Pap. Epigr. 15, 1974, 304; Cr. Erc. 5, 1975, 11) Κάστο[ρα δ]ὲ ὑπὸ Ἴδα τοῦ [Ἀφα]-

15 1 – 2 Hymn. Apoll. 520 λόφον προσέβαν ποσίν, αἶψα δ' ἵκοντο || 2 Θ 339 ποσὶν ταχέεσσι διώκων (v. l. πεποιθώς, cf. Ζ 505 al. π. κραιπνοῖσι πεπ.) | ν 261 ταχέεσσι πόδεσσιν

Greffken ap. Stoll, Myth. Lex. II 2, 3223, 52ss); (d) carmen priscum cognovit Herodt., sed deinde paulo mutatum et in cyclum inclusum epitomavit Proclus, ut putavit Monro, Journ. Hell. Stud. 4, 1883, 319 (vid. et. Allen, Class. Quart. 2, 1908, 82; Jouan, Euripide 182 adn. 1), cui adstipulor dum res melius explicetur

15 2 Ταΰγετον Schol. Pind. **BD** | ταχέσσι Schol. Pind. **B** : ταχέεσι Schol. Pind. **D**

ἀκρότατον δ' ἀναβὰς διεδέρκετο νῆσον ἅπασαν
Τανταλίδεω Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
δεινοῖς ὀφθαλμοῖσιν ἔσω κοΐλης δρυὸς ἄμφω,
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα·
νύξε δ' ἄρ' ἄγχι στὰς μεγάλην δρῦν ⟨–⏑⏑–⏓⟩

16

οὐκ ἀπ' ἐμοῦ σκεδάσεις ὄχλον, ταλαπείριε πρέσβυ;

ρέως κατη[κοντ]ίσθαι γέγραφεν ὁ [τὰ Κύπρια] ποήσας (Dietze, Philippson, Schobert restituerunt) || (VI) HYGIN. Astr. 2, 22 alii autem, cum oppugnarent Spartam Lynceus et Idas, ibi perisse dixerunt, Pollucem ait Homerus concesisse fratri dimidiam vitam; itaque alternis diebus eorum quemque lucere || (VII) LACTANTIUS Div. Inst. 1, 10, 5 (34 Brandt) Castor et Pollux dum alienas sponsas rapiunt esse gemini desierunt, nam dolore iniuriae concitatus Idas alterum gladio transverberavit: et eosdem poetae alternis vivere, alternis mori narrant, ut iam sint non deorum tantum, sed omnium mortalium miserrimi, quibus semel mori non licet. hos tamen Homerus ambos simpliciter, non ut poetae (*id est νεώτεροι, recte Bethe*) solent, mortuos esse testatur (*Γ* 243)

16 (I) ATHEN. 1, 4a *Κλέαρχός* (fr. 90 Wehrli) *φησι Χάρμον τὸν Συρακούσιον εὐτρεπίσθαι στιχίδια καὶ παροιμίας εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων ...*

3 Hymn. Hom. 19, 11 *ἀκροτάτην κορυφὴν ... εἰσαναβαίνων* | *ι* 146 *τὴν νῆσον ἐσέδρακεν ὀφθαλμοῖσιν* || 3–4 Tyrt. fr. 1[a], 15 Gent.-Prato *Πέλοπος νῆσον* | Alc. fr. 34, 1 Voigt *νᾶ]σον Πέλοπος* | Bacchyl. 12, 38–39 *Πέλοπος . . . / νάσου* || 4 Tyrt. fr. 9, 7 Gent.-Prato *Τανταλίδεω Πέλοπος* | *Ξ* 13 *τάχα δ' εἴσιδεν* || 6 *Γ* 237 *λ* 300 *Κάστορα θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα* (cf. Hymn. Hom. 33, 3 *Κ. θ' ἱπ. καὶ ἀμώμητον Π.*) | Hes. fr. 198, 8 M.-W. al. *Κάστορι θ' ἱπποδάμωι καὶ ἀεθλοφόρωι Πολυδεύκει* | Theocr. 22, 53 *ἀεθλοφόρος Πολυδεύκης* (cf. Horat. Od. 1, 12, 26 Ovid. Fast. 5, 700) || 7 *Ω* 477 *ἄγχι δ' ἄρα στάς* | *Η* 188 al. *ἄγχι παραστάς* || **16** *θ* 149 *σκέδασον δ' ἀπὸ κήδεα θυμοῦ* | vid. ad Cyp. fr. 17, 2

3–4 de *νῆσον . . . Πέλοπος* cf. Seve., Cycle 116 || 4 *Τανταλίδου* codd. : corr. Schndw. | *ὄβριμος ἥρως* Tzetz. Chil. : suprascr. *κύδιμος* **C**[1] || 5 *δεινοῖς*] *εἰν* Schol. Pind. **B** : *ὀξέσιν* Ribbeck : *οἷς εἰν* Wüllner | *ὀφθαλμοῖς* Schol. Pind. **D** | *ὄμμασιν ὀξυτάτοισιν* Peppmüller | *ἔσω δρυὸς ἄμφω κοίλης* codd. : corr. Gerhard prob. Nauck : *ὀφθαλμοῖσιν ἔσω κοίλης δρυὸς ἡμένω ἄμφω* Heyne : *ὀφθ. ἔ. δρυὸς ἡμένω ἄμφω κοίλης* dub. Boeckh in ap. crit. : *ἡμένω ὀφθ. – κοίλης* dub. Kink. in ap. crit. || 6 *πὺξ ἀγαθὸν Πολυδεύκεα* Rossbach | lac. post v. 6 stat. Ribbeck, prob. Stählin : dub. Seve. || 7 *ἄγχι στὰς* Heyne : *ἄγχιστα* **D** : *ἀγχίστωρ* **B** | *μεγάλην δρῦν* om. **B** | lacunam multi explere conati : *δουρὸς ἀκωκῆι* Heyne : *ἔγχεϊ μακρῶι* vel *δούρατι χαλκέωι* Rossbach : duos versos e. g. coni. Ribbeck, Rh. Mus. 33, 1878, 461 | subiectum verbi *νύξε* non Lynceus (ut voluit Puech, Rev. ét. gr. 43, 1930, 400 adn. 3) sed Idas sec. Procl., Apollodor., Philodem., cf. Stählin, Philologus 62, 1903, 185 adn. 12; Seve., Ant. Class. 1, 1932, 264 adn. 15 | de re cf. Pind. Nem. 10, 60ss, Theocr. 22, 135ss, Lycophr. Alex. 544ss, Paus. 4, 2, 7, Sud. s. v. *Λυγκέως ὀξυωπέστερον βλέπειν* (III 292, 1 Adler), Hygin. fab. 80, Schol. Hom. *Γ* 243; vid. et. Rob., Heldens. 316ss || **16** cuidam cyclico carmini tribuerunt Schweigh., Animadversiones in Athen. Deipnos. I 51s; Mein., Philol. exercit. in Athen. Deipnos. II 1 (vid. et. Döring, Megariker 147; Kindstrand, Bion of Borysthenes 225) : Cypriis Welck., Ep. Cyclus II 516, de Menelao cum Nestore loquente : omiserunt tamen Kink., Allen, Bethe, sed cf. quae dixi Emerita 50, 1982, 81ss

17 (10 K., 13 A., 12 B., X.)

οἶνόν τοι, Μενέλαε, θεοὶ ποίησαν ἄριστον
θνητοῖς ἀνθρώποισιν ἀποσκεδάσαι μελεδῶνας.

18 (20 K., 23 A., 22 B., 13 X.)

Ζῆνα δὲ τόν τ' ἔρξαντα καὶ ὃς τάδε πάντ' ἐφύτευσεν
οὐκ ἐθέλει νεικεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

εἰς δὲ τὸ ἐν τοῖς ἐψητοῖς ὡραῖον· 'οὐκ – ὄχλον;' || (II) PHILODEM. De piet. (P. Hercul. 229 VIII 5ss, p. 150 Gomperz) *δέον καὶ τοῖς ἐπάγουσιν τὸν 'οὐκ – σκε[δ]άσεις;' λ[ό]γον πρόχειρον ἔχειν* || (III) DIOG. LAERT. 2, 117 (= BIO BORYSTH. fr. 25 Kindstrand) *Κράτητος γοῦν αὐτὸν* (sc. *Στίλπωνα*, fr. 177 Döring) *ἐρωτήσαντος, εἰ οἱ θεοὶ χαίρουσι ταῖς προσκυνήσεσι καὶ εὐχαῖς, φασὶν εἰπεῖν 'περὶ τούτων μὴ ἐρώτα, ἀνόητε, ἐν ὄχλωι* (Ebert : *ὁδῶι* codd.), *ἀλλὰ μόνον'. τὸ αὐτὸ καὶ Βίωνα ἐρωτηθέντα, εἰ θεοί εἰσιν, εἰπεῖν·* [1]

17 (I) ATHEN. 2, 35c [1–2] *ὁ τῶν Κυπρίων τοῦτό φησι ποιητής, ὅστις ἂν εἴη* || (II) SUDA s. v. *οἶνος* (IV 624, 7 Adler) *ὁ δὲ Κύπριος ποιητής φησιν* [1–2] || (III) EUST. in Od. p. 1623, 44 *οἷς κατὰ τὸν ποιήσαντα τὰ Κυπριακὰ οἶνος θεόθεν πεποίηται ἄριστος ἀνθρώποις ἀποσκεδάσαι μελεδῶνας* || 18 (I) PLAT. Euthyphr. 12a *λέγω γὰρ δὴ τὸ ἐναντίον ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας* [1–2]. *ἐγὼ δὲ τούτωι διαφέρομαι τῶι ποιητῆι* | locum laudat STOB. Flor. 3, 31, 18 (III 672, 8 Hense) || (II) SCHOL. ad l. (3 Greene) *ση⟨μείωσαι⟩ πα⟨ροιμίαν⟩· ἵναπερ δέος, ἔνθα καὶ αἰδώς, ἐπὶ τῶν κατὰ φόβον ἐπιεικῶν. εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων* [1–2] || (III) SCHOL. ad eund. l. ap. ANECD. PARIS. I 399 Cramer *εἴρηται ἐκ τῶν Στασίνου Κυπρίων* [1–2] || (IV) MANT. PROV. 1, 71 (Paroem. Gr. II 755, 10) *ἵνα – αἰδώς* : *Στασίνου* (*Στασίμου* cod.) *ἡ γνώμη τοῦ ποιητοῦ, ὃς οὕτω φησί·* [1–2] || (V) STOB. Flor. 3, 31, 12 (III 671, 11 Hense) *Στασίνου ἐκ τῶν Κυπρίων* [1–2] || (VI) PLUT. Cleom. 9, 6 *διὸ καὶ καλῶς ὁ εἰπών· ἵνα – αἰδώς* || (VII) PLUT. De cohib. ir. 11

17 1 Panyas. 19, 1 *οἶνος θνητοῖσι . . . ἄριστον* || 2 Theogn. 883 *ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας* (cf. 1323) | Anth. Pal. 11, 55 (Pallad.) *ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας* (cf. Horat. Carm. 2, 11, 17) | vid. ad Cyp. fr. 16 || 18 2 Soph. Aiax 1079–1080 *δέος γὰρ ὧι πρόσεστιν αἰσχύνη θ' ὁμοῦ, / σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο* | Epicharm. fr. 158 Olivieri *ἔνθα δέος ἐνταῦθα καἰδώς* | O 657–658 *ἴσχε γὰρ αἰδὼς / καὶ δέος* | Hymn. Cer. 190 *τὴν δ' αἰδώς τε σέβας τε ἰδὲ . . . δέος εἷλεν*

17 eodem colloquio atque fr. 16 || 1 *τ(ας)* Athen. **EB** compendiorum confusione : *τι* Sud. **GMV** | *ἄκρητον* Xydas || 2 *μελεδώνας* Camerarius : codd. dubitant ap. Hymn. Apoll. 532 utrum *-ῶνας* an *-ώνας*; ap. Theogn. 883 omnes *-ῶνας* praebent (quod servant Hudson-Williams Carrière Adrados Young) : Bergk, Ziegler, Harrison, Edmonds, West praeferunt *-ώνας* sed cf. Van Groningen, Theognis 335s | de re cf. Jouan, Euripide 388 || 18 de fr. cf. Burnet, Class. Quart. 8, 1914, 235s | recte interpretatus est Bolling, Class. Phil. 23, 1928, 63s (contra Jouan, Euripide 44s adn. 5) : de Nestore cum Menelao loquente, prob. Xydas : fortasse de Paride cum Helena sec. Hux., Greek epic 140 : est Nemesis quae loquitur sec. Wüllner 72 || 1 *τ' ἔρξαντα* Merk. : *θέρξαντα* **B** : *θ' ἔρξαντα* **B²W** : *στέρξαντα* **T** *γρ* **BW** (lectio quam optime explicavit Merk., Kritische Beiträge 3) : *ῥέξαντα* Stobaeus Apostol. Schol. ap. Anecd. Paris. : *ἔρξαντα* Nauck Ribb. Burnet || 2 *ἐθέλει νεικεῖν* Burnet : *ἐθέλεις εἰπεῖν* **BT** (*νείκεσιν* Schol. **T**) : *ἐθέλειν εἰπεῖν* **W** corr. **B²** : *ἐθέλειν εἴκειν* Schol. ap. Anecd. Paris. | *ἵνα περ* Schol. ap. Anecd. Paris.

19

(I) Schol. Hom. *T* 326 (IV 222, 29 Dind.) *ἡ δὲ ἑτέρα ἱστορία ἔχει οὕτως· Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ τῶν Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγινώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίαι θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκῦρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα. ὁ δὲ γυναικείαν ἐσθῆτα ἀμφιάσας αὐτὸν ὡς κόρην ἀνέτρεφε μετὰ τῶν θυγατέρων. χρησμοῦ δὲ δοθέντος μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, ἐπέμφθησαν ὑφ' Ἑλλήνων πρὸς Πηλέα Ὀδυσσεύς, Φοῖνιξ καὶ Νέστωρ. τοῦ δὲ Πηλέως ἀρνουμένου παρ' αὐτῶι παῖδα μὴ τυγχάνειν, πορευθέντες εἰς Σκῦρον καὶ ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις ὅπλα καὶ ταλάρους ἔρριψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν καὶ τὰ λοιπά, ὁ δ' Ἀχιλλεὺς ἀνελόμενος τὰ ὅπλα κατάφωρος γέγονε καὶ συνεστρατεύσατο. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους, ἥτις ἐξ αὐτοῦ ἐγέννησε Πύρρον τὸν ὕστερον Νεοπτόλεμον κληθέντα, ὅστις τοῖς Ἕλλησι νέος ὢν συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς* || (II) Schol. Hom. *I* 668b (II 538 Erbse) *οἱ μὲν νεώτεροι ἐκεῖ* (sc. *ἐν Σκύρωι*) *τὸν παρθενῶνά φασιν, ἔνθα τὸν Ἀχιλλέα ἐν παρθένου σχήματι τῆι Δηϊδαμείαι συγκατακλίνουσιν* || (III) Ptolem. Chenn. ap. Phot. Bibl. p. 147a 18 (III 53, 18 Henry) = p. 17, 26 Chatzis *ὡς Ἀχιλλέα μὲν Ἀριστόνικος ὁ Ταραντῖνος* (FGrHist 57 F 1) *διατρίβοντα ἐν ταῖς παρθένοις παρὰ Λυκομήδει Κερκουρᾶν καλεῖσθαί φησιν, ἐκαλεῖτο δὲ καὶ Ἰσσὰν καὶ Πυρράν.*

20 (p. 194 B.)

(I) Schol. Hom. *A* 59 (Ludw., Textkr. Unt. I 24) *Ἀτρείδη, νῦν ἄμμε παλιμπλαγχθέντας] οἱ νεώτεροι ποιηταὶ ἐντεῦθεν σημειοῦνται ἱστοροῦντες τὰ περὶ τὴν Μυσίαν τὸν τρόπον τοῦτον. ἐν Τροίαι πλέοντες οἱ Ἕλληνες Μυσίαι προσίσχουσι, καὶ ἀγνοοῦντες αὐτὴν ἐπόρθουν, Τροίαν εἶναι νομίζοντες. Τήλεφος δὲ ὁ Ἡρακλέους καὶ Αὔγης τῆς Ἀλέου παῖς, βασιλεύων Μυσῶν καὶ ἰδὼν τὴν χώραν λεηλατουμένην τοὺς Μυσοὺς καθοπλίσας, ἐπὶ τὰς ναῦς τοὺς Ἕλληνας συνδιώξας πολλοὺς ἀπέκτεινεν. ὁρμήσαντος δὲ ἐπ' αὐτὸν Ἀχιλλέως οὐ μείνας ἐδιώκετο· ἐν δὲ τῶι τρέχειν ἐμπλακεὶς ἀμπέλου κλήματι τὸν μηρὸν τιτρώσκεται, νεμεσήσαντος αὐτῶι Διονύσου, ὅτι ἄρα ὑπὸ τούτου*

p. 459d *οὐ γάρ, ὡς ὁ ποιητὴς εἶπεν· ἵνα — αἰδώς* || (VIII) Diogenian. 5, 30 (Paroem. Gr. I 257, 1) *ἵνα — αἰδώς* || (IX) Apostol. 9, 6, Arsen. 31, 50 (Paroem. Gr. II 463, 9) *ἵνα — αἰδώς* || (X) Schol. Hom. *Ω* 435a[1] (V 594 Erbse) *δείδοικα καὶ αἰδέομαι] ἵνα — αἰδώς*, a[2] *εἰκότως ἀμφότερα· καὶ γὰρ καὶ ἡ παροιμία φησίν· 'ὅπου δέος, ἐκεῖ καὶ αἰδώς'*

19 e Cypriis sec. Seve., Cycle 285ss, prob. Valk, Researches I 369; Cypriis iam adtribuit Müller 91 (fr. 10) quae leguntur ap. librum Leid. in *T* 332 et quorum ultima verba sunt *ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς* || Homerus Scyron laud. *I* 666ss, *T* 326ss || **9** *Ὀδυσσέως* Villoison : *Ἀχιλλέως* Schol. || **17** *συγκατακλίνουσιν* Maass : *παρακλίνουσιν* Hornei : *κατακλίνουσιν* Schol. || **20** *Κερκουρᾶν* Valk ('qui per caudam mingit' interpretans) : *Κερκυσέραν* cod. | de re cf. et. Hygin. fab. 96, Schol. *A* 417 (Ludw., Textkr. Unt. II 8) *λέγεται τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως, ὅτι εἰ μὲν μείνειεν ἐν τῆι Φθίαι μὴ συμπλεύσας τοῖς Ἕλλησιν εἰς τὴν Ἴλιον, πολλὴ μὲν ἔσται αὐτῶι ἡ ζωή, ἄδοξος δέ· εἰ δὲ συνανέλθοι αὐτοῖς, ἔσται ὀλιγοχρόνιος μέν, ἀλλ' ἀοίδιμος καὶ εὐκλεής. ὅθεν, ὡς προειδυῖα ἡ Θέτις τοῦτο, ἣν αὐτὸν παραθεμένη εἰς τὸν Λυκομήδους παρθενῶνα ὡς κόρην ἐν τῆι Σκύρωι* | vid. et. Apollodor. Bibl. 3, 13, 8 et Frazer adn. ad loc., Schol. Hom. *A* 131

τῶν τιμῶν ἀφήιρητο. οἱ δὲ Ἕλληνες ὑπέστρεψαν εἰς τὸ Ἄργος || (II) EUST. in Il. p. 46, 36 *τὸ δὲ 'παλιμπλαγχθέντας' οἱ μὲν ἀντὶ τοῦ ἐκ δευτέρου πλανηθέντας φασὶ χρώμενοι τῆι τῶν νεωτέρων ἱστορίαι τῆι λεγούσηι, ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῆι Τροίαι οἱ Ἕλληνες ἥμαρτον τῆς ὁδοῦ καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο. ἡ δὲ ἦν ἡ ὑπὸ τῶι Τηλέφωι Μυσία. ὁ δὲ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπὸ Ἀχιλλέως ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῶι τοῦ ἵππου κατὰ Διονύσου πρόνοιαν καὶ πεσόντος εἰς γῆν, ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας* || (III) SCHOL. Hom. *Α* 59c (I 27 Erbse) *⟨παλιμπλαγχθέντας⟩ πρὸς τὴν τῶν νεωτέρων ἱστορίαν, ὅτι ἐντεῦθεν τὴν κατὰ Μυσίαν ἱστορίαν ἔπλασαν.*

21 (11 K., 14 A., 13 B., 16 X.)

(I) PAUS. 10, 26, 4 *τοῦ δὲ Ἀχιλλέως τῶι παιδὶ Ὅμηρος μὲν Νεοπτόλεμον ὄνομα ἐν ἁπάσηι οἱ τίθεται τῆι ποιήσει· τὰ δὲ Κύπρια ἔπη φησὶν ὑπὸ Λυκομήδους μὲν Πύρρον, Νεοπτόλεμον δὲ ὄνομα ὑπὸ Φοίνικος αὐτῶι τεθῆναι, ὅτι Ἀχιλλεὺς ἡλικίαι ἔτι νέος πολεμεῖν ἤρξατο* || (II) EUST. in Il. p. 1187, 21 *Νεοπτόλεμος δὲ ἐπεκλήθη ὁ τοῦ Ἀχιλλέως οὗτος υἱός, διότι νέος ὢν ἐπολέμησε* || (III) SERVIUS in Aen. 2, 13 (I 215, 10 Thilo-Hagen) Pyrrhus admodum puer evocatus ad bellum est; unde dictus est Neoptolemus *νέος εἰς πτόλεμον.*

22 (p. 194 B.)

(I) SCHOL. Hom. *Α* 59 (Ludw., Textkr. Unt. I 24) *Τήλεφος δὲ ἀνίατον ἔχων τὸ τραῦμα, εἰπόντος θεοῦ μηδένα δύνασθαι αὐτὸν θεραπεῦσαι ἢ τὸν τρώσαντα, ἦλθεν εἰς Ἄργος, καὶ πίστιν δοὺς μὴ ἐπικουρήσειν Τρωσὶν ἐθεραπεύθη ὑπὸ Ἀχιλλέως καὶ αὐτὸς ἔδειξε τὸν ἐπὶ Τροίαν πλοῦν. ταῦτα μὲν οἱ νεώτεροι· ὁ δὲ ποιητὴς λέγει Κάλχαντα ἀφηγήσασθαι τοῦ ἐπὶ Ἴλιον πλοῦ* || (II) SCHOL. Hom. *Α* 71a (I 31 Erbse) *καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν ⟨Ἴλιον εἴσω⟩] ὅτι ἀντὶ τοῦ νεῶν, καὶ ὅτι Κάλχας ἡγήσατο τοῖς Ἕλλησι καὶ οὐχὶ Τήλεφος, ὥς τινες νεώτεροι, καὶ ⟨ὅτι⟩ τὸ εἴσω* || (III) EUST. in Il. p. 46, 42 *ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, χρᾶται, καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλέει γοῦν τὴν ταχίστην ἐπ' Ἀχιλλέα καὶ συμβαίνει τὸν μὲν ἰάσασθαι τὴν ὠτειλήν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας τὴν εἰς Τροίαν ὁδηγίαν.*

20 **17** *ἐντεῦθεν* Bek. : *ἔνθεν* Schol. | cf. Tzetz. Ex. Iliad. 106, 7 Hermann || **18** *ἱστορίαν*] *ἐφόρμησιν* vel sim. maluit Friedländer || de historia cf. Rob., Heldens. 1148ss; Seve., Cycle 291ss; Valk, Researches I 24 adn. 86 | Tzetz. ad Lycophr. Alex. 206 (96, 27 Scheer), 211 (98, 31 Scheer) Telephum ut peditem depingit, vid. et. Apollodor. Epit. 3, 17 (in adn. ad Procl. epit.), Schol. Demosth. De coron. 134b (216, 6ss, 19ss Dilts), Strab. 1, 1, 17 p. 10, Mant. Prov. 2, 28 (Paroem. Gr. II 762, 12), Schol. Aristoph. Nub. 922 (131 Koster), Philostr. Heroic. 23, 3 de Lannoy, Dictys 2, 2 || 21 **3** *Ἀχιλλεὺς* del. Siebelis, Müller, at Neoptolemo nomen dant patris gestorum causa; errat enim Servius || **6** cf. fr. 19 (I) fin. | de re cf. et. Seve., Cycle 289; Valk, Researches I 370 || 22 **7** add. Cobet || cf. Eust. in Il. p. 45, 39, Schol. Hom. *Δ* 219 (I 490 Erbse), Mant. Prov. 2, 28 (Paroem. Gr. II 762, 16), Schol. Aristoph. Nub. 922 (131 Koster), Schol. Plat. Gorg. 447b (129 Greene), Philostr. Heroic. 23 de Lannoy, Dictys 2, 2, Schol. Demosth. De coron. 134b (216, 9ss, 22ss Dilts); vid. et. quae e picturis deduci possent ap. Rob., Heldens. 1152s; Jouan, Euripide 248s (cf. Append. Icon.)

23 (p. 195 B.)

(I) Schol. Hom. *Α* 108–109b (I 41 Erbse) *ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντες ἱστοροῦσιν ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι, πόλει τῆς Βοιωτίας, ἀθροισθέντων καὶ ἀπλοίαι κατασχεθέντων, Κάλχας ὁ μάντις ἐξεφώνησε μὴ δύνασθαι εἰς Ἴλιον ἄλλως ἐκπλεῦσαι αὐτούς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ σφαγιάσηι Ἀρτέμιδι, διὰ τὸ φονεῦσαι αὐτὸν τὴν ἱερὰν αἶγα τὴν τρεφομένην ἐν τῶι ἄλσει αὐτῆς καὶ πρὸς τούτωι καυχησάμενον εἰπεῖν ὅτι οὐδὲ ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευε. τοῦ δὲ Ἀγαμέμνονος διὰ τὴν πολλὴν ἀνάγκην παραστήσαντος τὴν κόρην τῶι βωμῶι, κατοικτειρήσασαν τὴν θεὰν καὶ ἔλαφον ἀντὶ τῆς παρθένου παραστήσασαν σῶσαι καὶ ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τῆς θεοῦ εἰπεῖν πεμφθῆναι αὐτήν. ἡ ἱστορία παρὰ πολλοῖς τῶν νεωτέρων καὶ παρὰ Δίκτυϊ τῶι γράψαντι τὰ Τρωϊκά* (FGrHist 49 F 5) || (II) Apollodor. Epit. 3, 21 *ἀναχθέντων δὲ αὐτῶν ἀπ' Ἄργους καὶ παραγενομένων τὸ δεύτερον εἰς Αὐλίδα, τὸν στόλον ἄπλοια κατεῖχε· Κάλχας δὲ ἔφη οὐκ ἄλλως δύνασθαι πλεῖν αὐτούς, εἰ μὴ τῶν Ἀγαμέμνονος θυγατέρων ἡ κρατιστεύουσα κάλλει σφάγιον Ἀρτέμιδι παραστῆι, διὰ τὸ μηνίειν τὴν θεὸν τῶι Ἀγαμέμνονι, ὅτι τε βαλὼν ἔλαφον εἶπεν· 'οὐδὲ ἡ Ἄρτεμις', καὶ ὅτι Ἀτρεὺς οὐκ ἔθυσεν αὐτῆι τὴν χρυσῆν ἄρνα. τοῦ δὲ χρησμοῦ τούτου γενομένου, πέμψας Ἀγαμέμνων πρὸς Κλυταιμνήστραν Ὀδυσσέα καὶ Ταλθύβιον Ἰφιγένειαν ᾔτει, λέγων ὑπεσχῆσθαι δώσειν αὐτὴν Ἀχιλλεῖ γυναῖκα μισθὸν τῆς στρατείας. πεμψάσης δὲ ἐκείνης Ἀγαμέμνων τῶι βωμῶι παραστήσας ἔμελλε σφάζειν, Ἄρτεμις δὲ αὐτὴν ἁρπάσασα εἰς Ταύρους ἱέρειαν ἑαυτῆς κατέστησεν, ἔλαφον ἀντ' αὐτῆς παραστήσασα τῶι βωμῶι· ὡς δὲ ἔνιοι λέγουσιν, ἀθάνατον αὐτὴν ἐποίησεν* || (III) Schol. Hom. *Ι* 145a (II 428 Erbse) *οὐκ οἶδε τὴν παρὰ τοῖς νεωτέροις σφαγὴν Ἰφιγενείας.*

24 (12 K., 15 A., 14 B., 17 X.)

Schol. Soph. El. 157 (110 Papageorgios) *ἢ Ὁμήρωι ἀκολουθεῖ* (*Ι* 144) *εἰρηκότι ⟨τὰς⟩ τρεῖς θυγατέρας τοῦ Ἀγαμέμνονος ἤ, ὡς τὰ Κύπρια, τέσσαράς φησιν, Ἰφιγένειαν καὶ Ἰφιάνασσαν.*

23 5 *διὰ τὸ* Villoison : *ἅτε* **A** | *διὰ – αὐτῆς* addita ex alio fonte esse censuit Seve., Cycle 296 || 6 *τοῦτο* **A** : corr. Bek. | cf. Soph. El. 566ss | *οὔτε* **Ah** : corr. Dind. || 14–15 *ἔλεγε γὰρ μηνίσαι Ἀγαμέμνονι τὴν θεόν, κατὰ μέν τινας ἐπεὶ κατὰ θήραν ἐν Ἰκαρίωι βαλὼν ἔλαφον εἶπεν οὐ δύνασθαι σωτηρίας αὐτὴν τυχεῖν οὐδ' Ἀρτέμιδος θελούσης, κατὰ δέ τινας ὅτι τὴν χρυσῆν ἄρνα οὐκ ἔθυσεν αὐτῆι Ἀτρεύς* **S** || 15 *καὶ – ἄρνα* addita ex alio fonte cens. Seve. || de Iphigenia sacrificata cf. Kjellberg, Iphigeneia, RE IX 2 (1916) 2588ss; Rob., Heldens. 1095ss; Frazer ad Apollodor. l. l.; Seve., Cycle 295ss; Séchan, Rev. ét. gr. 44, 1931, 368ss; Jouan, Euripide 260ss || de Aeschylo Cypriorum imitatore cf. Fraenkel, Dioniso 12, 1949, 3ss (praecipue 10ss) || **24** 2 add. Lascaris | *⟨ὁ⟩ τὰ Κύπρια* Bethe : *τὰ Κύπρια ⟨ποιήσας⟩* Brunck | *δ'* codd. : unde *διαφόρους* Elmsley | post *φησιν* lacunam susp. Kink., sed cf. quod recte explicaverunt Monro, Journ. Hell. Stud. 5, 1884, 8 adn. 1; Seve., Cycle 297 | sec. Cypriorum poetam Agamemnonis filiae Chrysothemis Laodice Iphianassa et Iphigenia sunt | cf. et. Schol. Hom. *Ι* 145 (247c 22 Bek.) *Λαοδίκη μία τῶν Ἀγαμέμνονος θυγατρῶν, ἣν οἱ τραγικοὶ Ἠλέκτραν εἶπον, ὡς καὶ τὴν Ἰφιάνασσαν Ἰφιγένειάν φησιν Εὐριπίδης* | cf. et. Schol. Eur. Or. 22 | de re cf. et. Bethe, Troisch. Epenkreis 163; Chatzistephanou, *Στασῖνος Δ'*, 1973, 140

25 (13 K., 16 A., p. 192 B., 19 X.)

οὐκ ἐφάμην Ἀχιλῆϊ χολωσέμεν ἄλκιμον ἦτορ
ὧδε μάλ' ἐκπάγλως, ἐπεὶ ἦ μάλα μοι φίλος ἤην.

26 (14 K., 17 A., 15 B., 20 X.)

(I) Paus. 4, 2, 7 *Λυγκέως μὲν δὴ παῖδα οὐκ ἴσμεν γενόμενον, Ἴδα δὲ Κλεοπάτραν θυγατέρα ἐκ Μαρπήσσης, ἣ Μελεάγρωι συνώικησεν. ὁ δὲ τὰ ἔπη ποιήσας τὰ Κύπρια Πρωτεσιλάου φησίν, ὃς ὅτε κατὰ τὴν Τρωιάδα ἔσχον Ἕλληνες ἀποβῆναι πρῶτος ἐτόλμησε, Πρωτεσιλάου τούτου τὴν γυναῖκα Πολυδώραν μὲν τὸ ὄνομα, θυγατέρα δὲ Μελεάγρου φησὶν εἶναι τοῦ Οἰνέως. εἰ τοίνυν ἐστὶν ἀληθές, αἱ γυναῖκες αὗται τρεῖς οὖσαι τὸν ἀριθμὸν ἀπὸ Μαρπήσσης ἀρξάμεναι προαποθανοῦσι πᾶσαι τοῖς ἀνδράσιν ἑαυτὰς ἐπικατέσφαξαν* || (II) Schol. Hom. *B* 701 (I 127, 17 Dind.) *οἱ μὲν τὸν Αἰνείαν ἀπέδοσαν . . . ἕτεροι Ἕκτορα . . . φονέα Πρωτεσιλάου.*

27 (15 K., 18 A., B., 22 X.)

Schol. Hom. *Π* 57b (IV 172 Erbse) *πόλιν εὐτείχεα] τὴν Πήδασον οἱ τῶν Κυπρίων ποιηταί, αὐτὸς (Β 690) δὲ Λυρνησ⟨σ⟩όν.*

25 Chrysipp. (?) ap. Pap. Louvre 2, col. 11, 27 saec. II a. Ch. (prim. ed. Letronne, Journ. des Sav. 1838, 322, cf. et. Bergk, Opuscula II 114; Schndw., Fragmente griech. Dicht. aus einem Pap. des Kön. Mus. zu Paris, Göttingen 1838; Brunet de Presle, Notices et extraits de manuscrits de la Bibliothèque Impériale XVIII, 1865, 106; Cavini et al., Studi su papiri greci di Logica e Medicina, Firenze 1985, 100ss; 161; = Stoic. Vet. Fr. II 57, 11 Arnim) *εἰ Ἀγαμέμνων οὕτως ἀπέφασκεν* (*ἔφασκεν* Allen) [1–2] *ἀξίωμά ἐστιν*

25 1 *M* 165 *οὐ γάρ ἔγωγ' ἐφάμην* (cf. *ξ* 481) | *E* 529 al. Hymn. Hom. 27, 9 Callin. fr. 1, 10 Gent.-Prato *ἄλκιμον ἦτορ* || 2 *A* 381 *ἐπεὶ μάλα οἱ φίλος ἦεν* (cf. *E* 695 *P* 577 *μ* 72 Xenoph. fr. 6, 4 Gent.-Prato)

25 Cypriis versus adtribuit Letronne, Journ. des Savants 1838, 322 de Achillis et Agamemnonis rixa tractavisse putans | de fr. cf. Ribbeck, Rhein. Mus. 33, 1878, 461 || 1 *χολωσέμεν* Nauck Ribbeck Allen : *χολώσειν Π* || 2 *ἦεν* Allen, Bethe at de *ἤην* cf. Chantr. Gramm. Hom. I 289; Tagliaferro, Helikon 18–19, 1978–1979, 340ss || 26 cf. Schol. Hom. *B* 701 (Ludw., Textkr. Unt. IV 6) *οἱ δὲ* (sc. *φασιν*) *ὅτι νεωστὶ γήμας* (sc. *Πρωτεσίλαος*) *οὐδέπω τελείως τὰ κατὰ τὸν γεγαμηκότος οἶκον διεπράξατο, ἀλλὰ πρότερον ἐστράτευσεν*, vid. et. Eur. Prothesil. (de quo cf. Rob., Heldens. 62ss), Eust. in Il. p. 326, 5, Antipatr. Acanth. FGrHist 56 F 1 a/b, Apollodor. Epit. 3, 30, Hygin. fab. 103; 104, Schol. Lycophr. Alex. 530 (190, 20 Scheer = Soph. fr. 497 Radt = Demetr. Sceps. 75 Gaede), Lucian. D. mort. 23, Schol. Aristid. III 671s Dind., Prop. 1, 19, 7ss, Ovid. Heroid. 13, Serv. in Aen. 6, 447, Tzetz. Chil. 2, 763ss | vulgo Protesilai uxor Laodamia : Apollodor. Epit. 3, 30, Eust. in Il. p. 325, 23, Hygin. fab. 104, Serv. in Aen. 6, 447, Tzetz. Ant. 227ss | de re cf. Buonamici, La leggenda di Protesilao e Laodamia, Pisa 1902; Seve., Cycle 301ss; Radke, Protesilaos, RE XXIII 1 (1957) 932ss; Jouan, Euripide 317ss || 27 *Λυρνησόν* Schol.: corr. Allen | de re cf. Schol. Hom. *A* 366 (Ludw., Textkr. Unt. II 5) *κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους ἐπιστρατεύσας Ἀχιλλεὺς τῆι Θήβηι καὶ τὴν πόλιν πορθήσας τόν τε Ἠετίωνα ἀνεῖλε σὺν τοῖς τέκνοις· μεθ' οὓς Λυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἐξελὼν αἰχμάλωτον ἦγεν ἐκ Λυρνησσοῦ μὲν Βρισηΐδα, ἣν γέρας αὐτοῦ ἐψηφίσαντο Ἕλληνες, ἀπὸ δὲ τῆς Χρύσης Χρυσηίδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Ἀπόλλωνος θυγατέρα*, vid. et. fr. 28

28 (16 K., 19 A., B., 23 X.)

(I) Eust. in Il. p. 119, 4 *ἱστοροῦσι δέ τινες ὅτι ἐκ τῶν Ὑποπλακίων Θηβῶν ἡ Χρυσηὶς ἐλήφθη, οὔτε καταφυγοῦσα ἐκεῖ οὔτ' ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα* || (II) Schol. Hom. *A* 366 (Ludw., Textkr. Unt. II 6) *ἔνιοι δέ φασιν ὅτι καὶ ἡ Χρυσηὶς ἐκ Θηβῶν ἐλήφθη. τῆς γὰρ Χρύσης, φασίν, οὔσης πολιχνίου ἀτειχίστου καὶ εὐτελοῦς, ὡς ἐν ἀσφαλεστέραι καὶ μείζονι τῆι Θήβηι οἱ ἀπ' αὐτῆς προσερρυηκότες ἦσαν διὰ τὸν πόλεμον* || (III) Schol. Hom. *A* 366c (I 109 Erbse) *εἰς Θήβας δὲ ἤκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος ἀδελφήν, Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι ἥλω ὑπὸ Ἀχιλλέως. μεγαλοφυῶς δὲ συντέμνει τὰ περισσὰ τῶν λόγων καὶ τῶν ἱστοριῶν.*

29 (17 K., 20 A., 17 B., 18 X.)

(I) Schol. Lycophr. Alex. 570 (197, 26 Scheer) *Σταφύλου τοῦ υἱοῦ Διονύσου θυγάτηρ γίνεται Ῥοιώ. ταύτηι ἐμίγη Ἀπόλλων. αἰσθόμενος δὲ ὁ Στάφυλος ἔβαλεν αὐτὴν εἰς λάρνακα καὶ ἀφῆκε κατὰ τὴν θάλασσαν. ἡ δὲ προσεπελάσθη τῆι Εὐβοίαι καὶ ἐγέννησεν αὐτόθι περί τι ἄντρον παῖδα, ὃν Ἄνιον ἐκάλεσε διὰ τὸ ἀνιαθῆναι αὐτὴν δι' αὐτόν. τοῦτον δὲ Ἀπόλλων ἤνεγκεν εἰς Δῆλον, ὃς γήμας Δωρίππην ἐγέννησε τὰς Οἰνοτρόπους Οἰνώ, Σπερμώ, Ἐλαΐδα, αἷς ὁ Διόνυσος ἐχαρίσατο, ὁπότε βούλονται, σπέρμα λαμβάνειν. Φερεκύδης* (FGrHist 3 F 140) *δέ φησιν ὅτι Ἄνιος ἔπεισε τοὺς Ἕλληνας παραγενομένους πρὸς αὐτὸν αὐτοῦ μένειν τὰ θ' ἔτη· δεδόσθαι δὲ αὐτοῖς παρὰ τῶν θεῶν τῶι δεκάτωι ἔτει πορθῆσαι τὴν Ἴλιον. ὑπέσχετο δὲ αὐτοῖς ὑπὸ τῶν θυγατέρων αὐτοῦ τραφήσεσθαι. ἔστι δὲ τοῦτο καὶ παρὰ τῶι τὰ Κύπρια πεποιηκότι, μέμνηται δὲ καὶ Καλλίμαχος τῶν Ἀνίου θυγατέρων ἐν τοῖς Αἰτίοις* (fr. 188 Pf.) || (II) Schol. Lycophr. Alex. 580 (200, 13 Scheer) *αἱ Οἰνότροποι ἐκαλοῦντο Οἰνώ, Σπερμώ, Ἐλαΐς. αὗται ἔλαβον παρὰ Διονύσου δῶρον, ἵνα, ὅτε θελήσουσι, καρπὸν τρυγῶσι· καὶ ὁ μὲν Οἰνὼ τὸν οἶνον ἐποίει, ἡ δὲ Σπερμὼ τὰ σπέρματα, τὸ ἔλαιον δὲ ἡ Ἐλαΐς. αὗται καὶ τοὺς Ἕλληνας λιμώττοντας ἐλθοῦσαι εἰς Τροίαν διέσωσαν. μαρτυρεῖ δὲ ταῦτα καὶ Καλλίμαχος* || (III) Schol. Lycophr. Alex. 581 (200, 19 Scheer) *Ἀγαμέμνων γὰρ τῶν Ἑλλήνων λιμῶι συνεχομένων μετεπέμψατο αὐτὰς διὰ τοῦ Παλαμήδους, καὶ ἐλθοῦσαι εἰς τὸ Ῥοίτειον ἔτρεφον αὐτούς* || (IV) Apollodor. Epit. 3, 10 *θυγατέρες Ἀνίου τοῦ Ἀπόλλωνος Ἐλαΐς Σπερμὼ Οἰνώ, αἱ Οἰνότροποι λεγόμεναι· αἷς ἐχαρίσατο Διόνυσος ποιεῖν ἐκ γῆς ἔλαιον σῖτον οἶνον.*

30 (18 K., 21 A., 16 B., 24 X.)

Paus. 10, 31, 2 *Παλαμήδην δὲ ἀποπνιγῆναι προελθόντα ἐπὶ ἰχθύων θήραν, Διομήδην δὲ τὸν ἀποκτείναντα εἶναι καὶ Ὀδυσσέα ἐπιλεξάμενος ἐν ἔπεσιν οἶδα τοῖς Κυπρίοις.*

28 Valk, Researches I 97 Eustathium in Cypriorum mentione e Porphyrio pendere putat || 7–8 simillima traduntur ap. Schol. Hom. *A* 18–19 (I 14 Erbse) || **29** cf. Schol. Hom. *ζ* 164, Callim. fr. 188 Pf., Ovid. Met. 13, 650ss | diversa leguntur ap. Diod. 5, 62, cf. et. Dictys 1, 23 || 3 *Εὐβοίαι*] cf. Ovid. Met. 13, 660 (at *Δήλωι* Diod. 5, 62) || 7 de Pherecydis fr. cf. Jac. comm. ad loc. || 8 fort. *δεδόσθαι γὰρ* Jac. || 19 *Ἀνιούτου* E : corr. Wagner | de re cf. Immisch, Rh. Mus. 44, 1889, 299ss; Frazer, comm. ad Apollodor. l. l.; Seve., Cycle 311s; Pf. ad Callim. fr. 188; Szarmach, Eos 62, 1974, 41s || **30** heroes epici non nisi egestate cibi piscantur, cf. Finsler, Homer, Leipzig–Berlin 1924, 11; Rob., Heldens. 1130 adn. 4 | vid. et. Kullmann, Mus. Helv. 12, 1955, 269; Jouan, Euripide 357 | de Palamede cf. Curtius, Rh. Mus. 7, 1850, 455; Wüst, Palamedes 1, RE XVIII 2 (1942) 2500ss; Odysseus, RE XVII 2 (1937) 1929s; Phillips, Am. Journ. of Philol. 78, 1957, 267ss (praecipue 270); Jouan, Euripide 339ss | de Palamedis morte cf. Szarmach, Eos 62, 1974, 40ss; de causis vid. Jouan, Euripide 358

31 (19 K., 22 A., 20 B., 6 X.)

Paus. 10, 26, 1 *Λέσχεως* (Il. parv. fr. 22) *δὲ καὶ ἔπη τὰ Κύπρια διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείαι.*

32 (21 K., 24 A., 21 B., 14 X.)

τῶι δ' ὑποκυσαμένη τέκε Γοργόνας, αἰνὰ πέλωρα,
αἳ Σαρπηδόνα ναῖον ἐν ὠκεανῶι βαθυδίνηι
νῆσον πετρήεσσαν.

33 (22 K., 25 A., 23 B., 15 X.)

νήπιος, ὃς πατέρα κτείνας παῖδας καταλείπει.

32 Herodian. *π. μονήρους λέξεως* 9 (II 914, 15 Lentz) *καὶ ἡ νῆσος* (sc. *Σαρπηδών*) *ἰδίως ἐν Ὠκεανῶι Γοργόνων οἰκητήριον οὖσα, ὡς ὁ τὰ Κύπρια φησί* [1–3] || **33** (I) Clem. Alex. Strom. 6, 2, 19, 1 *πάλιν Στασίνου* (*Ἀρκτίνου* Welck. Müller) *ποιήσαντος* [1], *Ξενοφῶν* (memoriae vitio Xenophonti tribuit quae sunt Herodoti 1, 155) *λέγει 'ὁμοίως γάρ μοι νῦν γε φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα ἀποκτείνας τῶν παίδων αὐτοῦ φείσαιτο'* || (II) Aristot. Rhet. 1 p. 1376a 6 *καὶ τὸ τοὺς υἱοὺς ἀναιρεῖν ὧν καὶ τοὺς πατέρας·* [1] || (III) Aristot. Rhet. 2 p. 1395 a 17 *καὶ ἐπὶ τὸ ἀναιρεῖν τῶν ἐχθρῶν τὰ τέκνα καὶ μηδὲν ἀδικοῦντα·* [1] || (IV) Polyb. 23, 10, 10 *ἅμα δὲ τούτοις συμπεριέλαβε καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ βασιλικὸν πρόσταγμα τοῦ ζῆν ἐστερήθησαν, ἐπιφθεγξάμενος, ὥς φασι, τὸν στίχον τοῦτον·* [1] || (V) Suda s. v. *νήπιος* (III 462, 1 Adler) *Φίλιππος ὁ Μακεδών, πολλοὺς ἀνελών, ὕστερον ἐφθέγξατο τοῦτον τὸν στίχον·* [1] || (VI) Suda s. v. *Φίλιππος ὁ Μακεδών* (IV 725, 15 Adler) *τοῦ ζῆν πολλοὺς ἐστέρησε καὶ τοὺς υἱέας ὕστερον συμπεριέλαβεν ἐπιφθεγξάμενος τὸν στίχον τοῦτον·* [1] cf. Livium 40, 3 || (VII) Arsenius ap. Apostol. 12, 8 (Paroem. Gr. II 543, 18) [1]

32 1 Hes. fr. 26, 27 M.-W. *τῶι δ' ὑποκυσαμένη* | Hes. fr. 205, 1 M.-W. *ἣ δ' ὑποκυσαμένη τέκεν* (cf. *Ζ* 26 *Υ* 225 *λ* 254 Hymn. Hom. 32, 15 Hes. Th. 411, fr. 10 (a), 42a West al.) | As. fr. 1, 1–3 *δ' ἔτεκε . . . κυσαμένη* | *Α* 414 *αἰνὰ τεκοῦσα* | *κ* 219 Apoll. Rhod. 1, 996 *αἰνὰ πέλωρα* | *λ* 634 *Γοργείην κεφαλὴν δεινοῖο πελώρου* || 2 *Β* 511 *οἳ δ' Ἀσπληδόνα ναῖον* (cf. Hes. Sc. 473) | Hes. Th. 274 *Γοργούς θ', αἳ ναίουσι πέρην . . . Ὠκεανοῖο* | *κ* 511 *ἐπ' Ὠκεανῶι βαθυδίνηι* | Hes. Th. 133 al. *Ὠκεανὸν βαθυδίνην* | cf. Stesich. fr. 6 Page (*Σαρπηδονία νῆσος*) Simon. fr. 29 Page (*Σαρπηδονία πέτρα*) || 3 *δ* 844 *νῆσος μέσσηι ἁλὶ πετρήεσσα* || **33** *λ* 449 Hes. fr. 61 M.-W. *νήπιος, ὅς . . .* | *Θ* 177 al. *νήπιοι, οἳ . . .* | Eur. Andr. 519ss *καὶ γὰρ ἀνοία / μεγάλη λείπειν ἐχθροὺς ἐχθρῶν, / ἐξὸν κτείνειν* (cf. Herodt. 1, 155)

31 Aeneae uxor vulgo Creusa nominatur, cf. Hygin. fab. 90, Verg. Aen. 2, 738s etc.; Kock, Kreusa 5, RE XI 2 (1922) 1825s || **32** 1 *ὑποκυσσαμένη* et *δεινὰ* codd. : em. Dind. || 2 *καὶ* codd. : corr. Henrichsen | *ἐπ'* codd. : corr. Lehrs | *ἢ* ante *νῆσον* del. Dind. || de insula Sarpedonia cf. Stesich. fr. 6 Page (= Schol. Apoll. Rhod. 1, 211), cf. Phot. s. v. *Σαρπηδών . . . νῆσος πρὸς τῶι Ὠκεανῶι ἐν ἧι αἱ Γοργόνες* || de re cf. Roscher, Die Gorgonen und Verwandtes, Leipzig 1879, 23ss; Ziegler, Gorgo, RE VII 2 (1912) 1633; Zwicker, Sarpedon, RE II A 1 (1921) 43s || **33** *πατέρας* Aristot. Rhet. 1376a 6 A | *κτείνων* Clem. Alex., Aristot. Rhet. 1395a 17 A | *υἱοὺς* Polyb., Sud., Aristot. Rhet. 1376a 6 *ΑΓ* | *καταλείποι* Aristot. Rhet. 1376a 6 *ΘΠ*, 1395a 17 *Π*QZ : *καταλίπει* Polyb. : *ἀπολείπει* Sud. s. v. *νήπιος* F : *ἐγκαταλίποι* Arsen. | Ilii excidio adtr. Müller, Welck., Ep. Cyclus II 528 | cf. et. Rzach, Kyklos, RE XI 2 (1922) 2394; Jouan, Euripide 371ss

34 (25 K., 26 A., 24 B., 25 X.)

ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
{ἐκ δ' ἕλετ' Ἀνδρομάχην, ἠύζωνον παράκοιτιν
Ἕκτορος, ἥν τε οἱ αὐτῶι ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.}

22 (19 K., 20 A., Il. exc. 6 B.)

Paus. 10, 26, 1 *ἐπὶ δὲ τῆι Κρεούσηι λέγουσιν ὡς ἡ θεῶν μήτηρ καὶ Ἀφροδίτη δουλείας ἀπὸ Ἑλλήνων αὐτὴν ἐρρύσαντο· εἶναι γὰρ δὴ καὶ Αἰνείου τὴν Κρέουσαν γυναῖκα· Λέσχεως δὲ καὶ ἔπη τὰ Κύπρια* (fr. 31) *διδόασιν Εὐρυδίκην γυναῖκα Αἰνείαι.*

Νεοπτολέμωι καὶ ἀπαχθῆναι σὺν αὐτῶι εἰς Φαρσαλίαν τὴν Ἀχιλέως πατρίδα. φησὶ δὲ οὑτωσί· [1–11] || (II) Paus. 10, 25, 9 *γέγραπται μὲν Ἀνδρομάχη καὶ ὁ παῖς οἱ προσέστηκεν ἑλόμενος τοῦ μαστοῦ· τούτωι Λέσχεως ῥιφθέντι ἀπὸ τοῦ πύργου συμβῆναι λέγει τὴν τελευτήν, οὐ μὲν ὑπὸ δόγματός γε Ἑλλήνων, ἀλλ' ἰδίαι Νεοπτόλεμον αὐτόχειρα ἐθελῆσαι γενέσθαι* || (III) Schol. Hom. *Ω* 735a (V 635 Erbse) *ὅτι ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ ῥιπτόμενον κατὰ τοῦ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα*, cf. Eust. in Il. p. 1373, 46 || (IV) Schol. Lycophr. Alex. 1232 (352, 26 Scheer) *ὕστερον δὲ τῆς Τροίας πορθουμένης ἐλευθερωθεὶς ὑφ' Ἑλλήνων ὁ αὐτὸς Αἰνείας, ἢ αἰχμάλωτος ἀχθεὶς ὑπὸ Νεοπτολέμου, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς, καὶ μετὰ τὴν ὑπὸ Ὀρέστου ἐν Δελφοῖς τοῦ Νεοπτολέμου ἀναίρεσιν ἐλευθερωθεὶς οἰκεῖ πρῶτον τὰς περὶ Ῥαίκηλον καὶ Ἀλμωνίαν πόλεις Μακεδονικὰς πλησίον Κισσοῦ ὄρους κειμένας, τὸ δὲ Ῥαίκηλον ἀπὸ τούτου Αἶνος ἐκλήθη* || (V) Schol. Eur. Andr. 14 (II 250, 17 Schw.) *Σιμίας ἐν τῆι Γοργόνι* (fr. 6 Powell) *Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμωι λέγων οὕτως·* [6–11]

3 *Ζ* 467 *πάις πρὸς κόλπον ἐυζώνοιο τιθήνης* || 4 *Α* 591 *ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ* | *Ω* 735 *ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου* | *Ρ* 346 al. *τὸν δὲ πεσόντ'* || 4–5 Batrach. 207–208 *τὸν δὲ πεσόντα / εἷλε μέλας θάνατος* || 5 *Ε* 83 al. *ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή* (cf. *ρ* 326 Hes. fr. 212 (b), 1 M.-W.)

5 *ἔλαβε* Schol. Lycophr. || 6 *ἕλεν* Schol. Lycophr. | *ἰυζων* (*ἰύζων* **O**) *παρακοίτην* Schol. Eur. **M** || 7 *αὐτοὶ* Wil.: *αὐτῶι* **MO** || 8 *ἀνδρί* corruptum sec. Schw. || 9 *τ'* Tzetz.: *τῆς* Schol. Eur. **M** | *ὑποδάμοιο* Schol. Eur. **M** || 10 *Αἰνείην – ἐμήσατο* Schw., prob. Bethe || vers. 6–11 Simiae trib. Schol. Eur. Andr. 14, unde duo fragmenta, primum Leschae, alterum Simiae, in unum coaluisse docuit Cobet (contra H. Fraenkel, De Simia Rhodio 37, monente Sternbach, Meletemata Graeca I 113). vid. et. Powell ad Simiae fr. 6; Griffin, Journ. Hell. Stud. 97, 1977, 51 adn. 62: singulariter quaestionem solvere conatur Hux., Greek epic 199, sic versus ordinare volens: 6 7 8 3 4 5 1 2 9 10 11 | suspecta et. quae dicuntur ap. Schol. Lycophr. Alex. 1232, fortasse a Simia sumpta | de Aeneae sorte cf. Arctin. Il. exc. fr. 1 | de compositione versuum cf. Notopoulos, Harv. Stud. Class. Phil. 68, 1964, 30

LESCHAE FRAGMENTVM DVBIVM

23 (Class. Rev. 27, 1913, 190 A., 15 B.)

ὡς δ' ὅτ' ἀέξηται σικυὸς δροσερῶι ἐνὶ χώρωι.

INCERTI OPERIS FRAGMENTA

24 (4 K., A., 5 B.)

Πηλεΐδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα,
ἔνθ' ὅ γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης.

25 (9 K., A., B.)

(I) Hesych. s. v. *Διομήδειος ἀνάγκη· παροιμία. Κλέαρχος* (fr. 68 Wehrli) *μέν φησι Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινάς, καὶ εὐθὺς αὐτοὺς φονεύειν· ὁ δὲ τὴν μικρὰν Ἰλιάδα φησὶν ἐπὶ τῆς τοῦ παλλαδίου κλοπῆς γενέσθαι.* || (II) Cono ap. Phot. Bibl. 137 a 8 (III 25 Henry) = FGrHist 26 F 1, 34 *στέλλονται οὖν ἐπὶ τῆι κλοπῆι τοῦ παλλαδίου Διομήδης καὶ Ὀδυσσεύς, καὶ ἀναβαίνει ἐπὶ τὸ τεῖχος Διομήδης, ἐπιβὰς τῶν ὤμων Ὀδυσσέως· ὁ δὲ οὐκ ἀνελκύσας Ὀδυσσέα καίτοι τὰς χεῖρας ὀρέγοντα ἤιει τὴν ἐπὶ τὸ παλλάδιον καὶ ἀφελόμενος αὐτὸ πρὸς Ὀδυσσέα ἔχων ὑπέστρεψε. καὶ διὰ τοῦ πεδίου κατιόντων πυνθανομένωι ἕκαστα τῶι Ὀδυσσεῖ Διομήδης, τὸ δόλιον τἀνδρὸς εἰδώς, οὐχ ὥσπερ ἔφησεν Ἕλενος παλλάδιον λαβεῖν αὐτόν, ἀλλ' ἀντ' ἐκείνου ἕτερον, ἀποκρίνεται. κινηθέντος δὲ τοῦ παλλαδίου κατά τινα δαίμονα, γνοὺς Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο εἶναι καὶ κατόπιν γεγονὼς σπᾶται τὸ*

23 Athen. 3, 73e *καὶ Λευχης* (C : *καὶ Λάχης* E : *Διεύχης* vel *Λέσχης* coni. Kaib.)· [1] || 24 (I) Schol. Hom. *T* 326a¹ (IV 635 Erbse), Eust. in Il. p. 1187, 15 *τινὲς μὲν ἐκεῖ ἐκτεθῆναι αὐτὸν* (sc. *Ἀχιλλέα*) *ὑπὸ Θέτιδος. ὁ δὲ τὴν μικρὰν Ἰλιάδα* (*γράψας* add. Eust.) *ἀναζευγνύντα αὐτὸν ἀπὸ* (*ἐκ* Eust.) *Τηλέφου προσορμισθῆναι ἐκεῖ·* [1–2] || (II) Schol. Hom. *T* 326a² (IV 636 Erbse), Anecd. Paris. III 26, 8 Cramer *φασὶν Ἀχιλλέα ἀπὸ τῆς πρὸς Τήλεφον ἀναζευγνύντα μάχης προσορμισθῆναι ἐκεῖ·* [1]

23 *Δ* 422 al. *ν* 66 al. Hes. Sc. 42 al. *ὡς δ' ὅτ'* | *Γ* 344 *διαμετρητῶι ἐνὶ χώρωι* (cf. *α* 426 al. *περισκέπτωι ἐνὶ χ.*) || 24 1 *Ψ* 542 Apoll. Rhod. 1, 558 *Πηλεΐδην Ἀχιλῆα* (genet. *θ* 75) | *κ* 48 *φέρεν πόντονδε θύελλα* (cf. Hes. Th. 742) || 2 Hes. Sc. 14 *ἔνθ' ὅ γε*

23 Il. parvae trib. dub. Allen || 24 1 *φέρεν οὖρωνδε* T || 2 *ἔνθ' ὅγ' ἐς* Eust. : *ἔνθα γ'* cett. : *ἔνθ' ἄρ' ὅ γ'* Peppmüller | *ἀργαλέον*] *ἀσπάσιον* dub. Kink. : *ἀσπάσιος* vel *-ίως* Peppmüller : *ἁρπαλέον* Weil, Taccone : traditum def. Seve. | *ἄκετο* T | *νυκτὸς ἀμολγῶι* Schndw., prob. Nauck | de re cf. Fleischer, Achilleus, Myth. Lex. I 1, 27; Ludw., Jahrb. Class. Phil. 41 (151), 1895, 15; Seve., Rev. Belge de Phil. et d'Hist. 7, 1928, 448; Valk, Researches I 371 || 25 sim. tradunt Zenob. 3, 8 (Paroem. Gr. I 59, 12), Apostol. 6, 15 (Paroem. Gr. II 367, 18), Serv. in Aen. 2, 166ss (247, 25 Thilo-Hagen), cf. et. Aristoph. Eccl. 1029 et Schol. ad loc., Plat. Resp. 493d (239 Greene), Themist. Or. 21 p. 251c, Anecd. Oxon. III 223, 14 Cramer || 8 *ὑπέστρεψε* Jac. : *-εφε* Phot.

ξίφος, ἐκεῖνον μὲν ἀνελεῖν βουληθείς, αὐτὸς δ' Ἀχαιοῖς τὸ παλλάδιον κομίζειν. καὶ αὐτοῦ μέλλοντος πληγὴν ἐμβαλεῖν (ἦν γὰρ σελήνη) ὁρᾶι Διομήδης τὴν αὐγὴν τοῦ ξίφους· Ὀδυσσεὺς δ' ἀναιρεῖν μὲν ἀπέσχετο ἀντισπασαμένου κἀκείνου ξίφος, δειλίαν δ' ὀνειδίσας πλατεῖ τῶι ξίφει οὐκ ἐθέλοντα προϊέναι τύπτων τὰ νῶτα ἤλαυνεν. ἐξ οὗ ἡ παροιμία 'ἡ Διομήδειος ἀνάγκη' ἐπὶ παντὸς ἀκουσίου λεγομένη. || (III) Paus. Attic. *δ* 14 (172, 20 Erbse), Suda s. v. *Διομήδειος ἀνάγκη* (II 105, 16 Adler), Eust. in Il. p. 822, 19 *Διομήδειος ἀνάγκη παροιμία ἀπὸ τοῦ Τυδέως ἢ ἀπὸ τοῦ Θρᾳκός, . . . οἱ δέ, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες νυκτὸς ἐκ Τροίας ἐπανήιεσαν, ἑπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἐβουλήθη ἀποκτεῖναι. ἐν τῆι σελήνηι δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, ἐπιστραφεὶς καὶ βιασάμενος τὸν Ὀδυσσέα ἔδησε καὶ προάγειν ἐποίησε παίων αὐτοῦ τῶι ξίφει τὸ μετάφρενον.*

26 (10 K., A., p. 193 B.)

ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν υἷες Ἀχαιῶν,
Ἄντικλος δὲ σέ γ' οἶος ἀμείψασθαι ἐπέεσσιν
ἤθελεν· ἀλλ' Ὀδυσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε
νωλεμέως κρατερῆισι, σάωσε δὲ πάντας Ἀχαιούς,
τόφρα δ' ἔχ' ὄφρα σε νόσφιν ἀπήγαγε Παλλὰς Ἀθήνη.

27 (dub. 1 K., p. 148 A., p. 191 B.)

φήμη δ' εἰς στρατὸν ἦλθε

26 Hom. *δ* 285–289 [1–5] cf. Schol. ad loc. (202, 4 Dind.) *Ἀρίσταρχος τοὺς ε'* (*δύο* **HQ**: corr. Porson) *ἀθετεῖ, ἐπεὶ ἐν Ἰλιάδι οὐ μνημονεύει Ἀντίκλου ὁ ποιητής — ὁ Ἄντικλος ἐκ τοῦ κύκλου. οὐκ ἐφέροντο* (*ἀναφέροντο* Schol.: corr. Dind.) *δὲ σχεδὸν ἐν πάσαις οἱ πέντε* || **27** Aeschin. 1, 128 *καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω ὥσθ' εὑρήσετε καὶ τὴν πόλιν ἡμῶν καὶ τοὺς προγόνους Φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῆι Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι 'φήμη — ἦλθε'*

26 1 *β* 82 *ἔνθ' ἄλλοι μὲν πάντες ἀκὴν ἔσαν* | *Α* 22 *ἔνθ' ἄλλοι μὲν πάντες* | *Δ* 429 *οἱ δ' ἄλλοι ἀκὴν ἴσαν* | *Α* 162 al. *γ* 104 al. *υἷες Ἀχαιῶν* || 2 *Ψ* 489 *ἀμείψασθαι ἐπέεσσι* (cf. *γ* 148 *λ* 81 al. Hymn. Cer. 118) || 2–3 *ψ* 76 *εἰπέμεν· ἀλλά μ' ἐκεῖνος ἑλὼν ἐπὶ μάστακα χερσίν* || 3 Hes. Op. 497 *χειρὶ πιέζηις* || 4 *Α* 15 al. *πάντας Ἀχαιούς* || 5 *Α* 509 al. *τόφρα . . . ὄφρα* | *Α* 400 al. *α* 125 al. Hes. Th. 577 al. *Παλλὰς Ἀθήνη* || **27** Sapph. fr. 44, 12 Voigt *φάμα δ' ἦλθε κατὰ πτόλιν*

12 *αὐτὸς* edd.: *αὐτὸν* **AM** || 19.20 *ἐκ Τροίας* om. Sud. || 20ss *ἐβ. ἀπ. τ. Διομ., κλέψαι τὸν τούτου φόνον προθέμενος, καὶ δὴ καὶ ξίφος ἐγύμνωσεν, οὗ τὴν σκ. ἐν τῆι σελ. ὁ Διομ. ἰδὼν ἐπιστραφεὶς κτλ.* Eust. || 21–22 *ἐπιστρ. — ἐποίησε*] *δείσας τὸν Ὀδ. ἐπ. πρ.* Sud. || 22 *παίων τ. αὐτοῦ ξ.* (om. *τὸ μετ.*) Eust. || sec. Bethe, Troisch. Epenkreis 255 historia in Il. parv. non narrabatur, sed cf. Griffin, Journ. Hell. Stud. 97, 1977, 46 | vid. et. Seve., Cycle 349ss | de palladio cf. Chavannes, De Palladii raptu, Berlin 1891 || **26** de re cf. Apollodor. Epit. 5, 19 *ὑπακοῦσαι δὲ Ἀντίκλου θέλοντος Ὀδυσσεὺς τὸ στόμα κατέσχεν*, Triphiod. 463ss | cf. et. Seve., Cycle 352ss | de his versibus cf. Blass, Interpolationen im Homer, 1906, 72; Bolling, The external evidence for interpolation in Homer, 1925, 232; Wil., Neue Hom. Unters., 1927, 116; Valk, Textual Criticism of the Odyssey, 1949, 225s || **27** de re vid. Welck., Ep. Cyclus I² 124 adn. 153; Hiller, Rh. Mus. 42, 1887, 337; Marzullo, Maia 6, 1953, 68ss, qui in Aeschin. loco *Ἰλιάδι* ⟨*μικρᾶι*⟩ vel sim. legere proposuit

ALTERIVS ILIADIS PARVAE VEL ALIARVM ILIADVM PARVARVM FRAGMENTA

28 (1 K., A., B.)

Ἴλιον ἀείδω καὶ Δαρδανίην ἐύπωλον,
ἧς πέρι πόλλ' ἔπαθον Δαναοί, θεράποντες Ἄρηος.

29 (6 K., A., B.)

ἄμπελον ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα
χρυσείην, φύλλοισιν ἀγανοῖσιν κομόωσαν

28 (I) Vita Hom. Herodotea 15 (9, 31 Wil.) *ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἐστιν ἀρχή* [1–2]. plura invenies ap. Test. 8 || (II) Ostracon ap. Vinogradov, Vestn. Drevn. Ist. 109, 1969, 142 (saec. Va. Ch.) *Ἴλιον – Δαρδανίην* || **29** (I) Schol. Eur. Troad. 822 (II 365, 7 Schw.) *Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῶι τὴν μικρὰν Ἰλιάδα πεποιηκότι* . . . (cf. Test. 10)· *φησὶ δὲ οὕτως·* [1–4] || (II) Schol. Eur. Or. 1391 (I 222, 20 Schw.) *τινὲς δὲ οὐχ ἵππους ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους, καθάπερ ἐν κύκλωι λέγεται·* [1–4] || (III) Schol. Hom. *λ* 520 (517, 14 Dind.) *Εὐρύπυλος ὁ Ἀστυόχης καὶ Τηλέφου τοῦ Ἡρακλέους παῖς λαχὼν τὴν πατρώιαν ἀρχὴν τῆς Μυσίας προΐστατο. πυθόμενος δὲ Πρίαμος περὶ τῆς τούτου δυνάμεως ἔπεμψεν ὡς αὐτὸν ἵνα παραγένηται σύμμαχος. εἰπόντος δὲ αὐτοῦ ὡς οὐκ ἐξῆν αὐτῶι διὰ τὴν μητέρα, ἔπεμψεν ὁ Πρίαμος τῆι μητρὶ αὐτοῦ δῶρον {Ἀστυόχηι}* (secl. Jac.) *χρυσῆν ἄμπελον. ἡ δὲ λαβοῦσα τὴν ἄμπελον τὸν υἱὸν ἔπεμψεν ἐπὶ στρατείαν* (*στρατὸν* **Q** : *ἐπιστρατεύειν* dub. Jac. in ap. crit.), *ὃν Νεοπτόλεμος ὁ τοῦ Ἀχιλλέως υἱὸς ἀναιρεῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάωι* (FGrHist 2 F 40) || (IV) Schol. Hom. *λ* 521 (518, 8 Dind.) *ἔνιοι μὲν γύναια δῶρα ἀπέδοσαν τὴν χρυσῆν ἄμπελον, ἣν ἐχαρίσατο Ζεὺς Τρωῒ ἀντὶ τῆς Γανυμήδους ἁρπαγῆς· ἥτις κατὰ διαδοχὴν μετέπεσεν εἰς Πρίαμον. οὐδὲν δὲ τούτων οἶδεν Ὅμηρος* || (V) ib. (518, 18 Dind.) *οἱ δέ, ὅτι ἄμπελον χρυσῆν Πρίαμος ὡμολόγησεν Ἀστυόχηι τῆι ἑαυτοῦ ἀδελφῆι, Εὐρυπύλου δὲ μητρί, ἐπὶ τῶι πέμψαι τὸν υἱόν.* cf. Eust. in Od. p. 1697, 31

28 1 Hymn. Hom. 12, 1 *Ἥρην ἀείδω, . . . ἣν . . .* | *Ε* 551 al. *Ἴλιον εἰς εὔπωλον* || 2 *Ξ* 67 *ἧι ἔπι πολλὰ πάθον Δαναοί* (cf. *δ* 95 al. *μάλα πολλὰ πάθον*) | *Β* 110 al. Hes. fr. 193, 6 M.-W. *Δαναοί, θεράποντες Ἄρηος* || **29** 1 *Β* 230 *υἷος ἄποινα* | Hymn. Ven. 210 *δίδου δέ οἱ υἷος ἄποινα* || 2 Apoll. Rhod. 3, 928 *φύλλοισιν ἀπειρεσίοις κομόωσα* || 2–3 *Σ* 562 *χρυσείην, μέλανες . . . βότρυες ἦσαν*

28 initium Leschae Il. parv. sec. omnes edd., sed cf. quae dixi ap. Apophoreta Philologica Fernández-Galiano I 141 ss || 1 *ἀε⟨ί⟩δω* Ostr. | de *ἐύπωλον* cf. Bowra, On Greek Margins 5 || 2 *πολλὰ πάθον* P⁹ prob. Allen | de carmine Olbiae cognito cf. Vinogradov, Vestn. Drevn. Ist. 109, 1969, 142 ss | de prim. pers. *ἀείδω* usu vid. Rzach, Kyklos, RE XI 2 (1922) 2422; Schwartz, Hermes 75, 1940, 2; Hux., Greek epic 151 s; Kranz, Sphragis, Studien zur ant. Literatur 30 || **29** 1 *οὗ παιδὸς* (sc. *Γανυμήδους*) | *ἄπεινα* Schol. Or. **I** || 2 *χρυσείοις* Schol. Troad. | *ἀγανοῖσιν* Jortin : *ἀγανοῖσιν* (-*οῖς* Schol. Or. **M**) Schol., quod Homer. prosod. repugnat (cf. Schulze, Quaest. epicae 469) : *ἀγαννοῖσιν* Barnes : *ἀγαυροῖσιν* Osann; de verbo cf. Thierfelder, Lex. Frühgr. Epos s. v. | *κυμοῶσαν* Schol. Or. **T**

βότρυσί θ' οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

30 (7 K., A., B.)

Paus. 3, 26, 9 *Μαχάονα δὲ ὑπὸ Εὐρυπύλου τοῦ Τηλέφου τελευτῆσαί φησιν ὁ τὰ ἔπη ποιήσας τὴν μικρὰν Ἰλιάδα.*

31 (19 K., 20 A., 12 B.)

Paus. 10, 26, 2 *γεγραμμέναι δὲ ἐπὶ κρήνης ὑπὲρ ταύτας Δηϊνόμη τε καὶ Μητιόχη καὶ Πεῖσίς ἐστι καὶ Κλεοδίκη. τούτων ἐν Ἰλιάδι καλουμένηι μικρᾶι μόνης ἐστὶ τὸ ὄνομα τῆς Δηϊνόμης, τῶν δ' ἄλλων ἐμοὶ δοκεῖν συνέθηκε τὰ ὀνόματα ὁ Πολύγνωτος.*

FRAGMENTVM DVBIVM

°32

]. ε̣σ̣ο[.]π..[.]ν κατ̣[.].[.]..[
ἐς μακάρων ν]ήσους τ̣.[.].ινπομ̣[.] Ὠκεαν[
πέ]μψωσ[ι]ν, ὅ̣θ̣ι ξα̣νθὸς Ῥαδάμ[ανθυς.'
ὣς ἄρα φωνήσ]ας ἀ̣π̣έβη πρὸς μ̣ακρὸν Ὄλυμπο̣[ν.
συν]ά̣ϊξαν ἐυκ̣ν̣ή̣μιδες Ἀχαι[οί.

32 P. Oxy. 2510, saec. IV p. Ch. (prim. ed. Lobel) [1–21]. vid. et. West, Class. Rev. 16, 1966, 22

3–4 *Β* 102 *Ἥφαιστος μὲν δῶκε Διί* (cf. *Ο* 310) | Hes. Th. 580 *ἀσκήσας . . . χαριζόμενος Διὶ πατρί* | *Γ* 350 al. *η* 316 al. Hes. Th. 36 al. *Διὶ πατρί* || 4 Hymn. Ven. 29 *δῶκε . . . ἀντὶ γάμοιο* || **32** 2 Hes. Op. 171 *ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην* (cf. Pind. Ol. 2, 70–71) || 3 *δ* 564 *ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς* || 4 *Ω* 468 *ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον* | *Ζ* 369 al. *δ* 657 al. *ὣς ἄρα φωνήσας ἀπέβη* | *Ω* 694 *κ* 307 al. *ἀπέβη πρὸς μακρὸν Ὄλυμπον* || 5 *Α* 17 al. *γ* 149 Hes. fr. 23 (a), 17 M.-W. *ἐυκνήμιδες Ἀχαιοί*

3 *βότρυσι τοὺς* Schol. Or. **MTB** || 3–4 *Διὶ – δὲ*] *πατρὶ δῶκεν· αὐτὰρ* (*ἀτὰρ* **MT**) *ὁ* Schol. Or. || 4 *πόρε* Schol. Troad. **A**, Schol. Or. **B** | *Γανυμήδεος ἀντί* 'unhomerisch' sec. Bethe, sed cf. *Ψ* 650 *τῶνδ' ἀντὶ* | de re cf. Roemer, Homerexegese 123; Seve., Cycle 342ss || **31** 1 *κρήνης* Robertson : *κλίνης β* : *κοίτης* Blümner || 3 *συνέθηκε* Porson : *οὖν ἔθηκε β* || **32** cf. Schol. Od. *ε* 310 (275, 19 Dind.) *ὑπερεμάχησαν τοῦ σώματος Ἀχιλλέως Ὀδυσσεὺς καὶ Αἴας, καὶ ὁ μὲν ἐβάστασεν, ὁ δὲ Αἴας ὑπερήσπισεν*, quod Seve., Cycle 320 pro Scholiastae errore habuit, vid. et. Ov. Met. 13, 283ss | Aeth. dub. trib. ed. pr. : ab Aeth. et Il. parv. abiudicaverunt Übel, Arch. f. Papyrusf. 24/25, 1976, 216s; Jouan, Assoc. G. Budé, Actes X[e] Congrès 86, sed cf. quae dixi ap. Apophoreta Philologica . . . Fernández-Galiano I 148s (ex Iliade parva altera), vid. et. Hux., Greek epic 150 || 1 init. ex. gr. *ὄφρα θεοὶ* ed. pr. || 2 suppl. West || 3 suppl. ed. pr. e *δ* 564 | in init. fortasse *ἀθάνατοι* | *ὅτι* **Π** || 4 suppl. ed. pr. || 5 *συ*]*νάϊξαν* West, potius quam *πρὸς δὲ νέκυ*]*ν ἄϊξαν* ed. pr.

ὡς δ᾽ εἴδοντ᾽ Ἀχιλῆ]α νέκυν αἴρον[τ]ạς Ἀχαιọύς,
]ịης κεκορυθμένοι, οἳ δ᾽ ἅ⟨μα⟩ πάντẹ[ς
]ἀ̣μφὶ νέκυ[ṿ] κατατεθν⟨ε⟩ιῶτα μ[άχεσθαι.
δὴ τότε Λαρτ]ịάδης προσέφη Τελαμώνιον ụ[ἱόν·
Αἶαν διογενές,] Τ̣ελαμώνιε, κοίρανε λαῶν,
ἅ]μα κ̣͙αὶ̣͙ νώτοισι̣ νέκυν οἴσωμ̣[εν,
]ουσι κατὰ φρ̣ένα ν[.]ṿδ[.]ρ̣..[
ἕως ἐγὼ ν]ώ̣τ̣οι̣σ̣ι φέρω, σὺ δὲ ṿ.[ ]ẹ[.]ẹτ̣[᾽
μετὰ] Τ̣ρῶας κα⟨ὶ⟩ Ἀχα̣[ι]οὺς ο..[
Ἀχι]λῆα, νέκυν ẹ[.].ϑ..κ̣[
]..υ χϑόν᾽ ἀ̣π᾽ ο[ὐ]ρ̣[α]νόϑ̣[εν
].ψεν ἐπὶ χϑο̣ν̣α̣ π̣[ουλυβότειραν.
κα]ϑ̣͙ύπερθεν εη.[ ]...[
]κατ᾽ ἄσθματι.αρ̣.[
]ẹ.ν δευ̣ẹν χθόṿα.[
Ὀδ]υσ⟨σ⟩εὺς βά̣σ̣ταζ̣[ε] ṿẹ́[κυν

ILII EXCIDIVM

TESTIMONIA

De auctore

1 Euseb. Chron. Ol. 4 (II 80 Schöne; vers. arm.)

Eumelus . . . (*Test.* 4) et Ar⟨c⟩tinus, qui Ethiopicam et Ilii occupationem (*sc.* composuit), cognoscebantur.

6 *P* 724 *ὡς εἴδοντο νέκυν αἴροντας* (v. l. *ἄραντας*) *Ἀχαιούς* || **8** *Π* 526 *ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι* (*Π* 565 *μάχεσθαι*) || **9** *Η* 283 al. *προσέφη Τελαμώνιος* | *Λ* 563 al. *Τελαμώνιον υἱόν* || **10** *Η* 234 al. *Αἶαν Διογενές, Τελαμώνιε, κοίρανε λαῶν* || **12** *Α* 193 al. *α* 294 *κατὰ φρένα* || **14** *Γ* 264 al. *μετὰ Τρῶας καὶ Ἀχαιούς* || **15** cf. v. 6 || **16** *Θ* 365 al. *λ* 18 al. Hes. Sc. 384 *ἀπ᾽ οὐρανόθεν* || **17** *Γ* 265 al. Hymn. Cer. 305 Hes. Th. 531 *ἐπὶ χθόνα πουλυβότειραν* (*τ* 408 *ἀνὰ χθ. π.*) || **20** *Ν* 655 al. *ι* 290 *δεῦε δὲ γαῖαν*

6 suppl. dub. ed. pr. || **7** *ἐκ Τρο]ίης* negat ed. pr., qui cetera suppl. || **9** init. suppl. West : cetera ed. pr. || **10–13** suppl. e. g. ed. pr. | de difficultatibus ad versus restituendos cf. ed. pr. comm. || **11** *ἅ]μα κ̣͙αὶ̣͙* Ebert (qui in init. e. g. restituit *φεύγωμέν ϑ᾽*) : *μάχας* ***Π*** : *εἰ δ᾽ ἄγε, νόσφι] μάχας* ed. pr. : sed *μάχας* (Dor.) valde suspectum || **14** supplevi || **15** suppl. ed. pr. || **16** suppl. West || **17** supplevi || **18** *]τυπερθεν* ***Π*** | *ἔηṿ*? || **21** suppl. ed. pr.

cf. Hieronym. (II 81 Schöne): Eumelus . . . (*Test. 4*) et Arctinus, qui Aethiopidam composuit et Ilii persin (persis *codd.*), agnoscitur. (= Aeth. Test. 4; cf. et. Testt. 1–3; 5–7)
Arctino et. tribuunt versus de Troiae excidio sine tit. Dionys. Halic. (fr. 1), Schol. Verg. (fr. 2), Schol. Hom. (fr. 4), Diomedes (fr. 7)

De Ilii excidio

2 IG XIV 1285 II, saec. I p. Ch. (Tabula Veronensis, vid. et. Sadurska, Tables Iliaques 57s)

[Νεοπτόλεμος ἀ]π[οκ]τείνει Πρίαμον καὶ Ἀγήνορα, Πολυποίτης Ἐχεῖον, Θρασυμήδης Νι⟨κ⟩αίνετον, Φιλοκτήτης Διοπ⟨ε⟩ίθην, Διο-[μήδης?

Ambigitur utrum Arctini (ut iudicavit Kink. 50) an Leschae (ut censuit Müller, Zeitschr. f. Altertumswiss. 1835, 1160) an Stesichori (ut crediderunt Jahn-Michaelis, Griechische Bilderchroniken, Bonn 1873, 38; Michaelis, Hermes 14, 1879, 495 adn. 1) Ilii excidii argumentum fuerit, vid. et. Sadurska, Tables Iliaques 57; *Ἰλίου πέρσις* laudatur et. ap. Sadurska 49; 52

3 Athen. 13, 610c

καὶ ἐὰν μέν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούρειον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα, καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου (frr. 19–28 Page)· *σχολῇι* (Casaub. : *σχολὴ* A) *γάρ, ἀλλ' ἐκ τῆς Σακάδου τοῦ* (Schwgh., prob. Bergk : *τῆσσακατου* A : *τῆς Ἁγία τοῦ* Hermann) *Ἀργείου Ἰλίου πέρσιδος. οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν.*

cf. Seve., Rev. Belge de Phil. et d'Hist. 5, 1926, 316s
Unum carmen cyclicum de Troiae excidio fuit sec. Wil., Hom. Unters. 350: contradixit Weil, Rev. de Philol. 11, 1887, 1ss. errans Bethe confudit cum Il. exc. fragmentis quae narravit tribuens Leschae Il. excidio Pausanias

4 Vas Homericum saec. III a. Ch. (prim. ed. Bakalakis, Prakt. 1933, 75, cf. Sinn, Die Homerischen Becher, Berlin 1979, 98 = MB 34)

a) *Ἰλίο[υ κ]ατάληψις / Νεοπτόλεμος / [ ]κελμο[*
b) *Ἴλιον*
c) *Αἴας*
d) *Δούρ[ρε]ιος [ἵππος]*
e) *Ὀδυσ[σε]ύς*

incertum et. utrum ad Arctini an Stesichori an alterius auctoris Ilii excidium hoc test. referri possit. vid. et. aliud vas Homericum saec. III a. Ch. (prim. ed. Theophanides, Delt. 1927/28 Parart. 4, Nr. 10 Abb. 4, cf. Sinn, ib. 100 = MB 35)

a) *Ἴλιον / ναὸς Ἀθηνᾶς / [Κ]ασσάν[δρ]α*
b) *[Ν]έστωρ / Κάλχα[ς]*

ILII EXCIDIVM

ARGVMENTVM

Procl. Chrest. 239 Seve.

ἕπεται δὲ τούτοις Ἰλίου πέρσιδος βιβλία δύο Ἀρκτίνου Μιλησίου περιέχοντα τάδε.

ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν· καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῆι Ἀθηνᾶι ἀνατεθῆναι· καὶ τέλος νικᾶι ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῶι δὲ τούτωι δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν. ἐπὶ δὲ τῶι τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην. καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ Ἑρκείου βωμὸν καταφυγόντα. Μενέλαος δὲ ἀνευρὼν Ἑλένην

1 *δύο* Bek. : *β′* **A** || **3** *ἵππον*] cf. Eust. in Od. p. 1698, 2 *φασὶ δὲ τοὺς εἰς αὐτὸν* (sc. *τὸν δούρειον ἵππον*) *καταβάντας τινὲς μὲν ὧν καὶ Στησίχορος* (fr. 22 Page) *ἑκατὸν εἶναι, ἕτεροι δὲ* (i. e. Arctin. Il. exc. sec. Seve., Cycle 356) *δώδεκα* || **3–7** de re cf. Apollodor. Epit. 5, 16 *ἡμέρας δὲ γενομένης ἔρημον οἱ Τρῶες τὸ τῶν Ἑλλήνων στρατόπεδον θεασάμενοι καὶ νομίσαντες αὐτοὺς πεφευγέναι, περιχαρέντες εἷλκον τὸν ἵππον καὶ παρὰ τοῖς Πριάμου βασιλείοις στήσαντες ἐβουλεύοντο τί χρὴ ποιεῖν. Κασάνδρας δὲ λεγούσης ἔνοπλον ἐν αὐτῶι δύναμιν εἶναι, καὶ προσέτι Λαοκόωντος τοῦ μάντεως, τοῖς μὲν ἐδόκει κατακαίειν, τοῖς δὲ κατὰ βαράθρων ἀφιέναι· δόξαν δὲ τοῖς πολλοῖς ἵνα αὐτὸν ἐάσωσι θεῖον ἀνάθημα, τραπέντες ἐπὶ θυσίαν εὐωχοῦντο* | cf. *ϑ* 505ss || **7** *δὲ τούτωι δύο* Welck. (vel potius anonymus quidam S., Allg. Liter. Zeit. Apr. 1840, 518) : *δὲ τ᾽* vac. litt. sex. *δύο* **A** | de re cf. Apollodor. Epit. 5, 18 *Ἀπόλλων δὲ αὐτοῖς σημεῖον ἐπιπέμπει· δύο γὰρ δράκοντες διανηξάμενοι διὰ τῆς θαλάσσης ἐκ τῶν πλησίον νήσων τοὺς Λαοκόωντος υἱοὺς κατεσθίουσιν*, cf. Frazer adn. ad loc. et fr. 3 || **8–9** de re cf. Rob., Heldens. 1003; Rossbach, Anchises, RE I 2 (1894) 2107s; Seve., Cycle 369 || **10–11** de re cf. Apollodor. Epit. 5, 19 *ὡς δὲ ἐγένετο νὺξ καὶ πάντας ὕπνος κατεῖχεν, οἱ ἀπὸ Τενέδου προσέπλεον, καὶ Σίνων αὐτοῖς ἀπὸ τοῦ Ἀχιλλέως τάφου πυρσὸν ἧπτεν*, vid. et. Vian, Recherches 73 || **11–13** cf. Apollodor. Epit. 5, 20 *ὡς δ᾽ ἐνόμισαν κοιμᾶσθαι τοὺς πολεμίους, ἀνοίξαντες σὺν τοῖς ὅπλοις ἐξήιεσαν . . . ἐπὶ τὰ τείχη παρεγένοντο καὶ τὰς πύλας ἀνοίξαντες ὑπεδέξαντο τοὺς ἀπὸ Τενέδου καταπλεύσαντας. χωρήσαντες δὲ μεθ᾽ ὅπλων εἰς τὴν πόλιν, εἰς τὰς οἰκίας ἐπερχόμενοι κοιμωμένους ἀνήιρουν* || **13–14** de Priami morte cf. Apollodor. Epit. 5, 21 *καὶ Νεοπτόλεμος μὲν ἐπὶ τοῦ ἑρκείου Διὸς βωμοῦ καταφεύγοντα Πρίαμον ἀνεῖλεν.* cf. Il. parv. fr. 16, Pind. Pae. 6, 112ss Sn.-Maehl., Eur. Troad. 16ss, 481ss, Hec. 22ss; de re cf. et. Tosi, Scritti di Filologia 6ss || **14** *Ἑλένην* Heyne : *Ἕλενον* **A** | de re cf. Apollodor. Epit. 5, 22 *Μενέλαος δὲ Δηΐφοβον κτείνας Ἑλένην ἐπὶ τὰς ναῦς ἄγει*, et adn. Frazer ad loc.; Tosi, Scritti di Filologia 29

ἐπὶ τὰς ναῦς κατάγει, Δηΐφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον. ἐφ' ὧι παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βουλεύονται τὸν Αἴαντα. ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώιζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται. καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει. καὶ τὰ λοιπὰ λάφυρα διανέμονται. Δημοφῶν δὲ καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον.

ΙΛΙΟΥ ΠΕΡΣΙΣ

auctor Arctinus Milesius saec. VIII fin.

1 (1 K., A., B.)

DIONYS. HALIC. 1, 68, 2 *πολλὰ δὲ καὶ ἄλλα ἐν ἱεροῖς ἀρχαίοις εἴδωλα τῶν θεῶν τούτων ἐθεασάμεθα, καὶ ἐν ἅπασι νεανίσκοι δύο στρατιωτικὰ σχήματα ἔχοντες φαίνονται. ὁρᾶν μὲν δὴ ταῦτα ἔξεστιν, ἀκούειν δὲ καὶ γράφειν ὑπὲρ αὐτῶν ἃ Καλλίστρατός τε ὁ περὶ Σαμοθράικης συνταξάμενος ἱστορεῖ* (FGrHist 433 F 10) *καὶ*

15 *Ἰλέως*] cf. Schol. Hom. *B* 527 (I 299 Erbse) *τινὲς τῶν νεωτέρων ἀνέγνωσαν χωρὶς τοῦ ο, ὡς ἄρθρου ὄντος, εἶτα Ἰλῆος· ὁ δὲ Ὅμηρος σὺν τῶι ο λέγει τὸν Ὀϊλῆα.* vid. plura ap. Eust. in Il. p. 277, 1 || 15–16 cf. Apollodor. Epit. 5, 22 *Αἴας δὲ ὁ Λοκρὸς Κασάνδραν ὁρῶν περιπεπλεγμένην τῶι ξοάνωι τῆς Ἀθηνᾶς βιάζεται· διὰ ⟨τοῦ⟩το* (Wagner) *τὸ ξόανον εἰς οὐρανὸν βλέπει* (Frazer : *βλέπειν* cod.), de quo cf. Frazer adn. ad loc.; Seve., Cycle 361ss; Vian, Recherches 75; vid. et. Strab. 13, 1, 40 p. 600 *λέγουσι δ' οἱ νῦν Ἰλιεῖς καὶ τοῦτο, ὡς οὐδὲ τελέως ἠφανίσθαι συνέβαινεν τὴν πόλιν κατὰ τὴν ἅλωσιν ὑπὸ τῶν Ἀχαιῶν, οὐδ' ἐξελείφθη οὐδέποτε. αἱ γοῦν Λοκρίδες παρθένοι, μικρὸν ὕστερον ἀρξάμεναι, ἐπέμποντο κατ' ἔτος. καὶ ταῦτα δ' οὐχ Ὁμηρικά· οὔτε γὰρ τῆς Κασάνδρας φθορὰν οἶδεν Ὅμηρος, ἀλλ' ὅτι μὲν παρθένος ἦν ὑπ' ἐκεῖνον τὸν χρόνον λέγει* [*N* 363–366], *βίας δὲ οὐδὲ μέμνηται*, cf. Schol. Hom. *γ* 135 (132, 10 Dind.) || 16–18 cf. Apollodor. Epit. 5, 23 *ὡς δὲ ἔμελλον ἀποπλεῖν πορθήσαντες Τροίαν, ὑπὸ Κάλχαντος κατείχοντο, μηνίειν Ἀθηνᾶν αὐτοῖς λέγοντος διὰ τὴν Αἴαντος ἀσέβειαν. καὶ τὸν μὲν Αἴαντα κτείνειν ἔμελλον, φεύγοντα δὲ ἐπὶ βωμὸν εἴασαν*, de re cf. Paus. 10, 31, 2 || 20 cf. Apollodor. Epit. 5, 23 *κτείναντες δὲ τοὺς Τρῶας τὴν πόλιν ἐνέπρησαν καὶ τὰ λάφυρα ἐμερίσαντο. καὶ θύσαντες πᾶσι τοῖς θεοῖς Ἀστυάνακτα ἀπὸ τῶν πύργων ἔρριψαν*, cf. fr. 5 | Neoptolemus Astyanactem necat sec. Lescham, cf. Il. parv. fr. 21; de re cf. Frazer adn. ad loc.; Tosi, Scritti di Filologia 15ss; Kern, Philologus 75, 1918, 183ss; Seve., Cycle 365ss || 20–21 cf. Apollodor. Epit. 5, 23 *λαμβάνει δὲ Ἀγαμέμνων μὲν κατ' ἐξαίρετον Κασάνδραν, Νεοπτόλεμος δὲ Ἀνδρομάχην, Ὀδυσσεὺς δὲ Ἑκάβην*, cf. Il. parv. fr. 21 || 21–22 cf. Apollodor. Epit. 5, 22 *ἀπάγουσι δὲ καὶ τὴν Θησέως μητέρα Αἴθραν οἱ Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας· καὶ γὰρ τούτους λέγουσιν εἰς Τροίαν ἐλθεῖν ὕστερον*, cf. fr. 6 | *Αἴθρη* ut Helenae ancilla laudatur ab Homero *Γ* 144 || 22–23 cf. Apollodor. Epit. 5, 23 *Πολυξένην δὲ ἐπὶ τῶι Ἀχιλλέως τάφωι κατέσφαξαν*, Paus. 10, 25, 10 *ἀποθανεῖν δὲ αὐτὴν* (sc. *Πολυξένην*) *ἐπὶ τῶι Ἀχιλλέως μνήματι ποιηταί τε ἄιδουσι*, Ibyc. fr. 26 Page, Eur. Hec. 107ss, 218ss, 391ss, 521ss | de re cf. Förster, Hermes 18, 1883, 475ss; Wüst, Polyxena, RE XXI 2 (1952) 1840ss

Σάτυρος ὁ τοὺς ἀρχαίους μύθους συναγαγὼν (FGrHist 20 F 1) καὶ ἄλλοι συχνοί, παλαιότατος δὲ ὧν ἡμεῖς ἴσμεν ποιητὴς Ἀρκτῖνος. λέγουσι γοῦν ὧδε· Χρύσην τὴν Πάλλαντος θυγατέρα γημαμένην Δαρδάνωι φερνὰς ἐπενέγκασθαι δωρεὰς Ἀθηνᾶς τά τε παλλάδια καὶ τὰ ἱερὰ τῶν μεγάλων θεῶν διδαχθεῖσαν αὐτῶν τὰς τελετάς. ἐπειδὴ δὲ τὴν ἐπομβρίαν φεύγοντες Ἀρκάδες Πελοπόννησον μὲν ἐξέλιπον, ἐν δὲ τῆι Θραικίαι νήσωι τοὺς βίους ἱδρύσαντο, κατασκευάσαι τὸν Δάρδανον ἐνταῦθα τῶν θεῶν τούτων ἱερὸν ἀρρήτους τοῖς ἄλλοις ποιοῦντα τὰς ἰδίους αὐτῶν ὀνομασίας καὶ τὰς τελετὰς αὐτοῖς τὰς καὶ εἰς τόδε χρόνου γινομένας ὑπὸ Σαμοθράικων ἐπιτελεῖν. ὡς δὲ μετῆγε τοῦ λεὼ τὴν πλείω μοῖραν εἰς τὴν Ἀσίαν, τὰ μὲν ἱερὰ τῶν θεῶν καὶ τὰς τελετὰς τοῖς ὑπομείνασιν ἐν τῆι νήσωι καταλιπεῖν· τὰ δὲ παλλάδια καὶ τὰς ⟨τῶν⟩ θεῶν εἰκόνας κατασκευασάμενον ἀγαγέσθαι μετ' αὐτοῦ. διαμαντευόμενον δὲ περὶ τῆς οἰκήσεως τά τε ἄλλα μαθεῖν καὶ περὶ τῶν ἱερῶν τῆς φυλακῆς τόνδε τὸν χρησμὸν λαβεῖν·

εἰς πόλιν ἣν κτίζηισθα θεοῖς σέβας ἄφθιτον αἰεὶ
θεῖναι καὶ φυλακαῖς τε σέβειν θυσίαις τε χοροῖς τε.
ἔστ' ἂν γὰρ τάδε σεμνὰ καθ' ὑμετέρην χθόνα μίμνηι
δῶρα Διὸς κούρης ἀλόχωι σέθεν, ἡ δὲ πόλις σοι
ἔσται ἀπόρθητος τὸν ἀεὶ χρόνον ἤματα πάντα.

(69) Δάρδανον μὲν ἐν τῆι κτισθείσηι τε ὑφ' ἑαυτοῦ καὶ ὀνομασίας ὁμοίας τυχούσηι πόλει τὰ ἕδη καταλιπεῖν, Ἰλίου δ' ἐν ὑστέρωι χρόνωι συνοικισθέντος ἐκεῖ⟨σε⟩ μετενεχθῆναι πρὸς τῶν ἐγγόνων αὐτοῦ τὰ ἱερά. ποιήσασθαι δὲ τοὺς Ἰλιεῖς νεών τε καὶ ἄδυτον αὐτοῖς ἐπὶ τῆς ἄκρας καὶ φυλάττειν δι' ἐπιμελείας ὅσης ἐδύναντο πλείστης θεόπεμπτά τε ἡγουμένους εἶναι καὶ σωτηρίας κύρια τῆι πόλει. ἁλισκομένης δὲ τῆς κάτω πόλεως τὸν Αἰνείαν καρτερὸν τῆς ἄκρας γενόμενον, ἄραντα ἐκ τῶν ἀδύτων τά τε ἱερὰ τῶν μεγάλων θεῶν καὶ ὅπερ ἔτι περιῆν παλλάδιον — θάτερον γὰρ Ὀδυσσέα καὶ Διομήδην νυκτός φασιν εἰς Ἴλιον ἀφικομένους κλοπῆι λαβεῖν — οἴχεσθαί τε κομίσαντα {τὸν Αἰνείαν} ἐκ τῆς πόλεως καὶ ἐλθεῖν ἄγοντα εἰς Ἰταλίαν. Ἀρκτῖνος δέ φησιν ὑπὸ Διὸς δοθῆναι Δαρδάνωι παλλάδιον ἓν καὶ εἶναι τοῦτο ἐν Ἰλίωι τέως ἡ πόλις ἡλίσκετο κεκρυμμένον ἐν ἀβάτωι· εἰκόνα δ' ἐκείνου κατεσκευασμένην ὡς μηδὲν τῆς ἀρχετύπου διαφέρειν ἀπάτης τῶν ἐπιβουλευόντων ἕνεκεν ἐν φανερῶι τεθῆναι, καὶ αὐτὴν Ἀχαιοὺς ἐπιβουλεύσαντας λαβεῖν.

2

(I) Schol. Monac. in Verg. Aen. 2, 15 (saec. IX, ed. Thilo, Serv. in Aen. praef. p. LXXXIV adn. 1) Arctinus dicit fuisse (*sc.* equum Troianum) in longitudine pedes C et in latitudine pedes L. eius autem caudam et genua mobilia fuisse tradidit || (II) Schol. Turon. in Verg. Aen. 2, 15 (saec. IX, prim. ed. Savage, Harv. Stud. Class. Phil. 36, 1925, 142) equum] quidam dicunt habuisse eum in longitudine C pedes, in latitudine L, cuius oculos et genua mobilia tradunt, quod Vergilius et Homerus probant || (III) Servius in Aen. 2, 150 (I 244, 15 Thilo-Hagen) hunc tamen equum (*sc.* Troianum) quidam longum centum viginti ⟨pedes⟩, latum triginta fuisse tradunt, cuius cauda, genua, oculi moverentur.

1 **14** add. Reiske || **15** *ἀνασκευασάμενον* coni. Sylb. | *μεθ' αὐτοῦ* coni. Hertlein || **17** *κτίζηισθα* Kiessling : *κτίζει* **AB** || **19** *ἔστ'* Reiske : *εὖτ'* **O** | *ὑμετέραν* **O** : corr. Cobet || **23** *ἐκεῖ* **O** : corr. Reudler || **25** *ὅσης* coni. Jac. : *ἣ* **A** : *ἢ* **B** : *ὡς* Cobet || **30** del. Grimm || **32** *ἐν ἀδύτωι* coni. Reudler || de re cf. Monro, Journ. Hell. Stud. 5, 1884, 30ss; Chavannes, De Palladii raptu, Berlin 1891 || **2** de hoc fr. cf. Timpanaro, Stud. Urb. 31, 1957, 156ss; Jouan, Assoc. G. Budé, Actes Xᵉ Congrès, Paris 1980, 87 || **2** Aractinus *Schol.* : *corr. Timpanaro* || **3** pedes b. *Schol.* : *corr. Timpanaro* | eius ad *Schol.* : *corr. Timpanaro* : cuius et *Savage* || **6–7** Vergilius – probant] *errat Scholiasta, cf. Timpanaro 158s* || **8** *vel* viginti ⟨ulnas⟩ *Burmann* || **9** moverentur *Timpanaro* : moventur *codd.*

3

Πόρκις καὶ Χαρίβοια

4 (Aethiop. 3 K., 5 A., 2 B.)

αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ ⟨κλυτὸς⟩ Ἐννοσίγαιος
ἀμφοτέροις, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκε·
τῶι μὲν κουφοτέρας χεῖρας πόρεν ἔκ τε βέλεμνα

3 (I) Tzetz. in Lycophr. Alex. 344 (134, 17 Scheer) *ἀφ' ὧν νήσων* (sc. *Καλυδνῶν*) *δύο δράκοντες διανηξάμενοι Πόρκις τε καὶ Χαρίβοια τὸν παῖδα τοῦ Λαοκόωντος ἀνεῖλον μέσον παντὸς τοῦ λαοῦ* || (II) Schol. Lycophr. Alex. 347 (135, 9a Scheer) *Πόρκις καὶ Χαρίβοια ὀνόματα δρακόντων, οἳ πλεύσαντες ἐκ τῶν Καλυδνῶν νήσων ἦλθον εἰς Τροίαν καὶ διέφθειραν τοὺς παῖδας Λαοκόωντος ἐν τῶι Θυμβραίου Ἀπόλλωνος νεῶι* || (III) Tzetz. in Lycophr. Alex. 347 (135, 9b Scheer) *τὰς Καλύδνας λέγει, ἐξ ὧν πλεύσας ὁ Πόρκις ὄφις καὶ Χαρίβοια τὸν Λαοκόωντος παῖδα ἀνεῖλον ἐν τῶι τοῦ Θυμβραίου Ἀπόλλωνος ναῶι* || (IV) Schol. Tzetz. Posth. 713–714 (169 Jacobs) *Λαοκόων : ἱερεὺς ἦν Ποσειδῶνος . . . τούτου ἕνεκα διανηξάμενοι ἐκ τῶν Καλυδνῶν νήσων δράκοντες δύω ὑπερμεγέθεις Πόρκις καὶ Χαρίβοια καλούμενοι ἐπ' ὄψει πάντων τῶν Τρώων τὸν τούτου παῖδα διεσπάραξαν καὶ ἔφαγον* || (V) Servius in Aen. 2, 211 (I 255, 22 Thilo-Hagen) hos dracones Lysimachus (FGrHist 382 F 16) Porcen ofin et Chariboeam (*Thilo e Mascivio*: Curifin et Periboeam *codd.*) dicit || 4 (I) Schol. Hom. *Λ* 515c (III 222 Erbse) *ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτός ἐστι κοινός, ἀλλ' ἐπὶ τὸν Μαχάονα, ὃν μόνον χειρουργεῖν τινες λέγουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι νόσους. καὶ τεκμήριον τούτου· Ἀγαμέμνων τρωθέντος Μενελάου οὐκ ἄμφω ἐπὶ τὴν θεραπείαν καλεῖ, ἀλλὰ τὸν Μαχάονα* (*Δ* 193–197). *τοῦτο ἔοικε καὶ Ἀρκτῖνος ἐν Ἰλίου πορθήσει νομίζειν, ἐν οἷς φησιν·* [1–8] || (II) Eust. in Il. p. 859, 42 *τινὲς δὲ τὸν Μαχάονα μὲν χειρουργεῖν ἐθέλουσι, Ποδαλείριον δέ, στρατιώτην ὄντα καὶ αὐτόν, ὡς ἀλλαχοῦ δηλώσει ὁ ποιητής, ἀσκεῖν τὰ περὶ δίαιταν. τεκμήριον δὲ ὁ βασιλεὺς εἰς θεραπείαν τοῦ Μενελάου βληθέντος καλέσας τὸν Μαχάονα, οὐ μὲν τὸν Ποδαλείριον. μαρτυρεῖ δὲ καὶ τὰ ἱστορούμενα ἔπη τὰ ἐπὶ τῆι Τρωϊκῆι πορθήσει, ἐν οἷς φέρεται περὶ Ποδαλειρίου καὶ Μαχάονος, ὡς ἄμφω μὲν Ποσειδῶνος ἦσαν, ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκεν, ὁ Ποσειδῶν δηλαδή,* [3–8]

3 Nicander? Suppl. Hell. 562, 11 *Πόρκιν* (vel *Πόρκην* Lobel : *ποικην* *Π*) *κα[ὶ Χαρίβοι]αν* (suppl. Lobel) || 4 1 *Β* 612 *αὐτὸς γάρ σφιν δῶκεν* | *Β* 827 *αὐτὸς ἔδωκεν* | Hymn. Apoll. 10 *ἔδωκε πατήρ* | *Π* 250 *ψ* 228 *δῶκε πατήρ* | Hymn. Ven. 111 *πατὴρ ὄνομα κλυτός* | *α* 300 al. *πατέρα κλυτόν* | Hes. Op. 84 *πατὴρ κλυτόν* | *Θ* 440 al. *ε* 423 al. *κλυτὸς ἐννοσίγαιος* || 3 Pind. Pyth. 9, 11 *χερὶ κούφαι*

3 Arctino tribui, cf. Emerita 50, 1982, 89ss | de re cf. et. Vian, Recherches 64ss || 4 Aeth. rettulit Welck., Ep. Cyclus II 178s, prob. Kink., sed 'e Podalirii quadam aristia ut videtur deprompti versus iam mortuo Machaone' recte iudicavit Allen : de Philoctetae curatione sec. Monro, Journ. Hell. Stud. 5, 1884, 29, fortasse recte; vid. et. Jebb ad Soph. Aiac. XIII adn. 2; Rowan, Greek Tragedians 102s || 1 *Ἐνοσίγαιος πεσεῖν* TT[v] : ⟨*κλυτὸς*⟩ *Ἐννοσίγαιος* Heyne, qui *παισὶν* (unde *πεσεῖν*) pro glossemate ad *ἀμφοτέροις* recte habuit : ⟨*ἦρ'*⟩ *Ἐννοσίγαιος* Ludw. : *γέρα Ἐννοσ.* Duebner : *νουσήλια παισίν* Welck. || 2 *κυδίον'* Eust. : *κύδιον* TT[v] | *ἔθηκεν* T Eust. || 3 *πόρε* T[v]

σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι,
τῶι δ' ἀκριβέα πάντ' ἄρ' ἐνὶ στήθεσσιν ἔθηκεν
ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰήσασθαι·
ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο
ὄμματά τ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα.

5 (2 K., A., 15 B.)

Schol. Eur. Andr. 10 (II 249, 9 Schw.) *Στησίχορον* (fr. 25 Page) *μὲν γὰρ ἱστορεῖν* (sc. *φασιν*) *ὅτι τεθνήκοι* (sc. *ὁ Ἀστυάναξ*), *καὶ τὸν τὴν πέρσιδα συντεταχότα κυκλικὸν ποιητὴν ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφθείη. ὧι ἠκολουθηκέναι Εὐριπίδην.*

6 (3 K., A., B.)

Θησείδαις δ' ἔπορεν δῶρα κρείων Ἀγαμέμνων
ἠδὲ Μενεσθῆϊ μεγαλήτορι ποιμένι λαῶν.

7 (4 K., 6 A., 16 B.)

{ὁ} Ἴαμβος
ἐξ ὀλίγου διαβὰς προφόρωι ποδί, ὄφρ', ὅθι γυῖα
τεινόμενα ῥώοιτο, καὶ εὐσθενὲς ἦδος ἔχηισι.

6 Schol. Eur. Troad. 31 (II 349, 3 Schw.) *ἔνιοι ταῦτά φασι πρὸς* (Dind. : *κατὰ* **A**) *χάριν* (sc. *Ἀθηναίων*) *εἰρῆσθαι. μη⟨δὲν⟩* (Cobet) *γὰρ εἰληφέναι* (*ἐκ* del. Cobet) *τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν λαφύρων ἀλλὰ μόνην τὴν Αἴθραν, δι' ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον, Μενεσθέως ἡγουμένου. Λυσίμαχος* (FGrHist 382 F 14) *δὲ τὸν τὴν πέρσιδα* (Cobet : *περσηΐδα* **A**) *πεποιηκότα φησὶ γράφειν οὕτως·* [1–2] || cf. ps.-Demosth. 60, 29 (= Il. exc. fr. 4 Allen) *ἐμέμνηντ' Ἀκαμαντίδαι τῶν ἐπῶν ἐν οἷς Ὅμηρος ἕνεκα τῆς μητρός φησιν Αἴθρας Ἀκάμαντ' εἰς Τροίαν στεῖλαι* || 7 Dio-

4 *Π* 29 *ἕλκε' ἀκειόμενοι* | *Π* 523 *ἕλκος ἄκεσσαι* | *Ω* 420 *ἕλκεα πάντα* || 5 *Ρ* 470 Hymn. Apoll. 462 al. *ἐν(ὶ) στήθεσσιν ἔθηκε* || 6 1 Hymn. Merc. 470 *ἔπορεν . . . δῶρα* (*π* 230 *ἔπορον*, Hes. Th. 412 *πόρεν*) | *Α* 130 al. *κρείων Ἀγαμέμνων* (cf. *γ* 248) || 2 *Μ* 373 al. *Μενεσθῆος μεγαθύμου* | Hes. fr. 10 (a), 47 West *μεγαλή*]*τορι ποιμένι λαῶν*, cf. 23 (a), 34 West al. | *Β* 85 al. *γ* 156 al. Hes. Th. 1000 As. fr. 1, 3 *ποιμένι λαῶν*

4 *τμήξαι τὲ καὶ ἕλκεα* **T**^{v} || 5 *δ' ἄρ'* **T** Eust. : *δ' ἆρ* **T**^{v} : corr. Ludw. | *πάντ' ἐνὶ* **TT**^{v} Eust. : corr. Ludw. : *πάντα ἐνὶ* Schndw. : *πάντ' εἰνὶ* Welck. | *στήθεσιν* **T** : *στήσεσιν* **T**^{v} | *ἔθηκε* **T**^{v} || 6 *καί κ'* **TT**^{v} | *ἀναλθέα ἰάσασθαι* **TT**^{v} : *ἀναλθέ' ὀίσασθαι* Eust. : corr. Kink. || 7 *μάθε* 'pluris quam perfecti vim habet' recte notavit Allen || 8 *ὄμματ' ἀστ.* Eust. | de *ἀστράπτω* usu cf. Nordheider s. v. *ἀστράπτω* Lex. Frühgr. Epos | de re cf. Seve., Rev. Belge de Phil. et d'Hist. 7, 1928, 447 s; Cycle 358 ss; Herter, Sudhoffs Archiv für Gesch. der Mediz. 47, 1963, 247 ss || 5 de re cf. Il. parv. fr. 21 || 1 *Στησίχορος* **MOA** : corr. Cobet | *ἱστορεῖ* **MOA** : corr. Cobet || cf. Jac. adn. ad loc.; Seve., Cycle 365 ss || 6 1 *Θεισείδαις* **A** | *Θησείδῃσι δὲ δῶρα πόρε* coni. Köch. | *ἔπορε* **A** || 2 *ἡ δὲ* **A** || de re cf. Eur. Hec. 123 et Schol. ad loc. || 7 versus constituit Scaliger, cf. et. Ludw., Berl. Phil. Wochenschr. 29, 1902, 925 s || 1 O iambos **ABM** : *ὁ secl. Hux.* : *ὁ Ἴαμβος vel a grammatico vel a librario versibus Arctini additum esse iudicavit Welck.* : *ὁ δ' Ἴαμβος Gaisford* : *γυῖα δ' Ἴαμβος Schndw.* || 2 ex oligu (exoligo **BM**) diabas proforo podio frao igyati (igriati **BM**) **ABM** : *διίαμβος ἐξ ὀλίγου διαβὰς προφέρω* **ς** : *ἐξ ὀλίγου διαβὰς προφόρωι ποδί, ὄφρ' οἱ γυῖα Scaliger* | *ὄφρ' ὅθι γυῖα Ludw.* : *ὄφρα οἱ ἰγνὺς Schndw.* : *τόφρα ἔτι γυῖα Naeke* || 3 no-

NOSTI

TESTIMONIA

1 Suda s. v. Ὅμηρος (III 526, 4 Adler)

ἀναφέρεται δὲ εἰς αὐτὸν (sc. *Ὅμηρον*) *καὶ ἄλλα τινὰ ποιήματα . . . Νόστοι κτλ.*

2 Suda s. v. *νόστος* (III 479, 26 Adler)

καὶ οἱ ποιηταὶ δὲ οἱ τοὺς Νόστους ὑμνήσαντες ἕπονται τῶι Ὁμήρωι ἐς ὅσον εἰσὶ δυνατοί. φαίνεται ὅτι οὐ μόνος εἷς εὑρισκόμενος ἔγραψε Νόστον Ἀχαιῶν, ἀλλὰ καί τινες ἕτεροι. (*φαίνεται – ἕτεροι* in mg. add. **GM**)

3 Schol. Pind. Ol. 13, 31 a (I 364, 8 Drachm.)

τοῦτο δὲ διὰ τὸν Εὔμηλον (Gyraldus : *Εὔμολπον* Schol.) *ὄντα Κορίνθιον καὶ γράψαντα Νόστον τῶν Ἑλλήνων.* vid. Eum. Test. 13

4 Vas Homericum, saec. III in. a. Ch. (prim. ed. Rob., Jahrb. D. Arch. Inst. 39, 1919, 66s, cf. et. Sinn, Die Homerischen Becher, Berlin 1979, 101 = MB 36)

b) [*κατὰ τὸν ποιητὴν*] *Ἀ*[*γίαν*] *ἐκ τῶν* [*Νό*]*στων Ἀχα*[*ι*]*ῶν. θάνατος Ἀγαμέμ*[*νο*]*νος* (vid. fr. 10).

Ἀγίας Nostorum auctor et. ap. Procl. epit., Clem. Alex. (e corr.; cf. fr. 8), qui ab Hegia (de quo cf. ad fr. 15) distinguendus est; ad Eustathii errorem de auctore Nostorum Colophonio cf. ad fr. 16. sine auctoris nomine carmen laudatur ap. Apollodor. (fr. 1), Schol. Hom. (fr. 2), Paus. (frr. 3; 5; 6), Schol. Eur. et Aristoph. (fr. 7)

Ambigitur utrum *Ἀτρειδῶν κάθοδος* (cf. frr. 4; 11) idem carmen atque Nosti sit, ut iudicaverunt Welck., Ep. Cyclus I^2 261; II 292; Monro, Journ. Hell. Stud. 5, 1884, 38; Bethe, Troisch. Epenkreis 270ss, prob. Allen, Kink., necne (cf. Wil., Hom. Unters. 156s; Hux., Greek epic 167s); *Ἀτρειδῶν κάθοδος* potius pars Nostorum mihi esse videtur

MEDES I 477, 9 Keil : auctor huius vibrationis Arctinus (*Scaliger* : arctinius **AB** : artinius **M** : agretinus *ς*) Graecus his versibus perhibetur [1 – 3]

men araui tokui eust (to kuei ust **BM**) henesidos exhci (ex hoc **M** : exhg **B**) **ABM** : *corr. Scaliger* | *τεινομένωι Luzacius* : *τεινομένη Schndw.* | *ἦδος Ludw.* : *ἴχνος Ruhnken* : *εἶδος Scaliger* | *ἔχηισιν Schndw.* || de re cf. Welck., Ep. Cyclus II 529, qui Il. excidio trib., vid. et. Hux., Greek epic 159

NOSTI

ARGVMENTVM

Procl. Chrest. 277 Seve.

συνάπτει δὲ τούτοις τὰ τῶν Νόστων βιβλία πέντε Ἁγίου Τροιζηνίου περιέχοντα τάδε.

Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει. Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν διασώιζονται. μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῶι πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῆι πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι. τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν προλέγον τὰ συμβησόμενα.

εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος

1 *πέντε* Bek. : *ε'* A || **3–4** de re cf. *γ* 138ss, Apollodor. Epit. 6, 1 *καὶ μετὰ ταῦτα συνελθόντων εἰς ἐκκλησίαν Ἀγαμέμνων καὶ Μενέλαος ἐφιλονείκουν, Μενελάου λέγοντος ἀποπλεῖν, Ἀγαμέμνονος δὲ ἐπιμένειν κελεύοντος καὶ θύειν Ἀθηνᾶι*, cf. Seve., Cycle 370s || **5** cf. *γ* 167ss, 182ss, Apollodor. Epit. 6, 1 *ἀναχθέντες δὲ Διομήδης* ⟨*καὶ*⟩ (add. Frazer) *Νέστωρ καὶ Μενέλαος ἅμα, οἱ μὲν εὐπλοοῦσιν* | Seve., Cycle 371ss putavit fortasse in Nostis narratum esse Aegialeae adulterium (de quo cf. Schol. Hom. *E* 412–413 [II 65 Erbse], Schol. Hom. *E* 412 [161b 29 Bek.], Lycophr. Alex. 610ss et Schol. ad loc. [206, 28 Scheer = Mimnerm. fr. 17 Gent.-Prato], Eust. in Il. p. 566, 2, Serv. in Aen. 11, 269), vid. et. Schwartz, Jahrb. Class. Philol. Suppl. 12, 1881, 461; Wil., Eur. Hippol. 40, 2; Valk, Researches I 328ss || **6–7** de re cf. *γ* 276ss, 299ss, Apollodor. Epit. 6, 1 *ὁ δὲ Μενέλαος χειμῶνι περιπεσών, τῶν λοιπῶν ἀπολομένων σκαφῶν, πέντε ναυσὶν ἐπ' Αἴγυπτον ἀφικνεῖται*, plura invenies ap. 6, 29; vid. et. Paus. 10, 25, 2 || **7–9** de re cf. Apollodor. Epit. 6, 2 *Ἀμφίλοχος δὲ καὶ Κάλχας καὶ Λεοντεὺς καὶ Ποδαλείριος καὶ Πολυποίτης ἐν Ἰλίωι τὰς ναῦς ἀπολιπόντες ἐπὶ Κολοφῶνα πεζῆι πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα τὸν μάντιν*, vid. et. Strab. 14, 1, 27 p. 642, Tzetz. in Lycophr. Alex. 427–430 (157, 16 Scheer) || **8** *Τειρεσίαν*] *Κάλχαντα* Mein., cf. Rzach, Kyklos, RE XI 2 (1922) 2426 || **9** *τὸν δὲ* A : corr. Heyne || **12** cf. Apollodor. Epit. 6, 7 *τῶν δὲ ἄλλων Εὐβοίαι προσφερομένων νυκτὸς Ναύπλιος ἐπὶ τοῦ Καφηρέως ὄρους πυρσὸν ἀνάπτει· οἱ δὲ νομίσαντες εἶναί τινας τῶν σεσωσμένων προσπλέουσι, καὶ περὶ τὰς Καφηρίδας πέτρας θραύεται τὰ σκάφη καὶ πολλοὶ τελευτῶσιν. ὁ γὰρ* {*αὐτοῦ*} (secl. Frazer) *τοῦ Ναυπλίου* (fortasse *τοῦ αὐτ. Ναυ.* Ebert) *καὶ Κλυμένης τῆς Κατρέως υἱὸς Παλαμήδης ἐπιβουλαῖς Ὀδυσσέως λιθοβοληθεὶς ἀναιρεῖται. τοῦτο μαθὼν Ναύπλιος ἔπλευσε πρὸς τοὺς Ἕλληνας καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν· . . . μαθὼν τὴν εἰς τὰς πατρίδας τῶν Ἑλλήνων ἐπάνοδον, τὸν εἰς τὸν Καφηρέα, νῦν δὲ Ξυλοφάγον λεγόμενον, ἀνῆψε φρυκτόν· ἔνθα προσπελάσαντες Ἕλληνες ἐν τῶι δοκεῖν λιμένα εἶναι διεφθάρησαν*. vid. Frazer ad loc.; simillima tradit Tzetz. in Lycophr. Alex. 384–386 (144, 10 Scheer) | vid. ad fr. 1 | de Aiacis morte cf. *δ* 499ss, Apollodor. Epit. 6, 5 *οἱ δὲ ἀνάγονται καὶ περὶ Τῆνον χειμάζονται. Ἀθηνᾶ γὰρ ἐδεήθη Διὸς τοῖς Ἕλλησι χειμῶνα ἐπιπέμψαι. καὶ πολλαὶ νῆες βυθίζονται. Ἀθηνᾶ δὲ ἐπὶ τὴν Αἴαντος ναῦν κεραυνὸν βάλλει, ὁ δὲ τῆς νεὼς διαλυθείσης ἐπί τινα πέτραν διασωθεὶς παρὰ τὴν θεοῦ ἔφη πρόνοιαν σεσῶσθαι. Ποσειδῶν δὲ πλήξας τῆι τριαίνηι τὴν πέτραν ἔσχισεν, ὁ δὲ πεσὼν εἰς τὴν*

φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῆι ποιεῖται τὴν πορείαν· καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῆι Μαρωνείαι, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ καὶ τελευτήσαντα Φοίνικα θάπτει· αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ.

ἔπειτα Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου καὶ Πυλάδου τιμωρία καὶ Μενελάου εἰς τὴν οἰκείαν ἀνακομιδή.

ΝΟΣΤΟΙ

auctor: Agias Troezenius — saec. VII med.

1 (1 K., A., B.)

Apollodor. Bibl. 2, 1, 5 *πρὶν δὲ τελευτῆσαι ἔγημε* (sc. *Ναύπλιος*), *ὡς μὲν οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως, ὡς δὲ ὁ τοὺς Νόστους γράψας, Φιλύραν,*

θάλασσαν τελευτᾶι, καὶ ἐκβρασθέντα θάπτει Θέτις ἐν Μυκόνωι, Strab. 13, 1, 40 p. 600 *οὐδ' ὅτι ἡ φθορὰ τοῦ Αἴαντος ἐν τῆι ναυαγίαι κατὰ μῆνιν Ἀθηνᾶς συνέβη ἢ κατὰ τοιαύτην αἰτίαν, ἀλλ' ἀπεχθανόμενον μὲν τῆι Ἀθηνᾶι κατὰ τὸ κοινὸν εἴρηκεν — ἁπάντων γὰρ εἰς τὸ ἱερὸν ἀσεβησάντων ἅπασιν ἐμήνιεν —, ἀπολέσθαι δὲ ὑπὸ Ποσειδῶνος μεγαλορρημονήσαντα.* de re cf. et. Schol. Hom. λ 197 (490, 9 Dind.), Eust. in Od. p. 1678, 24, Schol. Eur. Or. 432 (I 148, 14 Schw.), Strab. 8, 6, 2 p. 368 et Seve., Cycle 374 ss

13–14 de re cf. Apollodor. Epit. 6, 5 *Ἀγαμέμνων δὲ θύσας ἀνάγεται καὶ Τενέδωι προσίσχει, Νεοπτόλεμον δὲ πείθει Θέτις ἀφικομένη ἐπιμεῖναι δύο ἡμέρας καὶ θυσιάσαι, καὶ ἐπιμένει* ‖ **14–16** cf. ι 197 ss, Apollodor. Epit. 6, 12 *Νεοπτόλεμος δὲ μείνας ἐν Τενέδωι δύο ἡμέρας ὑποθήκαις τῆς Θέτιδος εἰς Μολοσσοὺς πεζῆι ἀπήιει μετὰ Ἑλένου καὶ παρὰ τὴν ὁδὸν ἀποθανόντα Φοίνικα θάπτει, καὶ νικήσας μάχηι Μολοσσοὺς βασιλεύει.* cf. Tzetz. in Lycophr. Alex. 902, Schol. Hom. γ 188, Eust. in Od. p. 1463, 21, Paus. 1, 11, 1, Seve., Cycle 381 ss | de Maronea laudata cf. Hux., Greek epic 166 ‖ **17** *ἔπειτα* Heyne : (lac. septem litt.) *τὰ* A ‖ **17–18** de re cf. α 29 ss, 298 ss, γ 193 ss, 303 ss, δ 517 ss, λ 405 ss, vid. ad fr. 10, cf. et. Apollodor. Epit. 6, 23 *Ἀγαμέμνων δὲ καταντήσας εἰς Μυκήνας μετὰ Κασάνδρας ἀναιρεῖται ὑπὸ Αἰγίσθου καὶ Κλυταιμήστρας· δίδωσι γὰρ αὐτῶι χιτῶνα ἄχειρα καὶ ἀτράχηλον, καὶ τοῦτον ἐνδυόμενος φονεύεται, καὶ βασιλεύει Μυκηνῶν Αἴγισθος· κτείνουσι δὲ καὶ Κασάνδραν. Ἠλέκτρα δὲ μία τῶν Ἀγαμέμνονος θυγατέρων Ὀρέστην τὸν ἀδελφὸν ἐκκλέπτει καὶ δίδωσι Στροφίωι Φωκεῖ τρέφειν, ὁ δὲ αὐτὸν ἐκτρέφει μετὰ Πυλάδου παιδὸς ἰδίου. τελειωθεὶς δὲ Ὀρέστης εἰς Δελφοὺς παραγίνεται καὶ τὸν θεὸν ἐρωτᾶι, εἰ τοὺς αὐτόχειρας τοῦ πατρὸς μετέλθοι. τοῦτο δὲ τοῦ θεοῦ ἐπιτρέποντος ἀπέρχεται εἰς Μυκήνας μετὰ Πυλάδου λαθραίως καὶ κτείνει τήν τε μητέρα καὶ τὸν Αἴγισθον.* cf. Aesch. Agam., Pind. Pyth. 11, 34 ss, Soph. El., Eur. El., Hygin. fab. 117, vid. et. Olivieri, Riv. Filol. Class. 25, 1897, 570 ss; Seve., Cycle 405 ss ‖ **18–19** cf. γ 311 ss, Apollodor. Epit. 6, 29 *ὀκτὼ δὲ πλανηθεὶς ἔτη* (sc. *Μενέλαος*) *κατέπλευσεν εἰς Μυκήνας, κἀκεῖ κατέλαβεν Ὀρέστην μετεληλυθότα τὸν τοῦ πατρὸς φόνον. ἐλθὼν δὲ εἰς Σπάρτην τὴν ἰδίαν ἐκτήσατο βασιλείαν* ‖ in Nostis et. narrabatur descensus ad inferos (cf. frr. 3–9), de re cf. Rzach, Kyklos RE XI 2 (1922) 2424 ss; Seve., Cycle 385 ss; Hux., Greek epic 164 s, sed Proclus rem omittit, unde veri simile mihi videtur hanc partem omissam esse ad includendum carmen in cyclum, praeeunte iam necyia Odysseica ‖ **1 2** *τραγικοί*] 'Nauplium' scripserunt Soph. (frr. 425–438 Radt), Philocles (TrGF 24 T 1), Astydamas (TrGF 60 F 5), Lycophro (TrGF 100 T 3)

ὡς δὲ Κέρκωψ (Hes. fr. 297 M.-W.), *Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην Οἴακα Ναυσιμέδοντα.*

2 (2 K., A., B.)

Schol. Hom. δ 12 (172, 8 Dind.) *αὕτη* (sc. *Μεγαπένθους μήτηρ*), *ὡς μὲν Ἀλεξίων, Τειρίς, ὡς δ' ἔνιοι Τηρίς, θυγάτηρ Ζευξίππης· ὡς δὲ ὁ τῶν Νόστων ποιητής, Γέτις. ⟨τινὲς δὲ τὸ⟩ δούλης κύριόν φασι.*

3 (3 K., A., B.)

Paus. 10, 28, 7 *ἡ δὲ Ὁμήρου ποίησις ἐς Ὀδυσσέα καὶ ἡ Μινυάς* (fr. 2) *τε καλουμένη καὶ οἱ Νόστοι — μνήμη γὰρ δὴ ἐν ταύταις καὶ Ἅιδου καὶ τῶν ἐκεῖ δειμάτων ἐστίν — ἴσασιν οὐδένα Εὐρύνομον δαίμονα.*

4 (10 K., A., Atr. Cath. 2 B.)

Athen. 7, 281 b *φιλήδονον δ' οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖόν φασι γενέσθαι Τάνταλον· ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεοὺς καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ πρὸς τὰς ἀπολαύσεις ἀπλήστως διακείμενον ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς· ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν, ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός.*

5 (4 K., A., B.)

Paus. 10, 29, 6 *ἔστι δὲ πεποιημένα ἐν Νόστοις Μινύου μὲν τὴν Κλυμένην θυγατέρα εἶναι, γήμασθαι δὲ αὐτὴν Κεφάλῳ τῷ Δηΐονος καὶ γενέσθαι σφίσιν Ἴφικλον παῖδα.*

3 *Κέκροψ* **A** : corr. Aegius; de re cf. Apollodor. Epit. 6, 11, Hygin. fab. 116, Heron. Aut. 22, 3ss, Procl. epit. 294 Seve.; vid. et. Lycophr. Alex. 365ss, Philostr. Heroic. 33, 47 de Lannoy, Schol. Eur. Or. 432 (I 147, 21 Schw.), Quint. Smyrn. 14, 612ss | de hac historia in Nost. cf. Rob., Bild und Lied 182; Holzinger ad Lycophr. Alex. 385; Seve., Cycle 374ss; Vian, Recherches 79ss || **2** cf. Eust. in Od. p. 1479, 61 *καὶ ὁ τῶν Νόστων δέ, φασι, ποιητὴς κύριον ὄνομα λέγει τὸ δούλης* (e Schol. iam illius aetate corrupto pendet; vid. Dind. in ap. crit.), de re cf. Seve., Rev. Belge de Phil. et d'Hist. 7, 1928, 445ss; Cycle 376ss || 2 *Τήρïα* **H** : *Γῆρι* **QR** : *Πιερίς* Apollodor. Bibl. 3, 11, 1 | *θυγατῆρις θυγάτηρ* **HMRQ** : corr. Dind. || 3 add. Dind. || de Megapenth. Menelai filio cf. δ 11 cum Schol. (et Seve., Cycle 379), Apollodor. Bibl. 3, 11, 1 (= Acusil. FGrHist 2 F 41, vid. Jac. comm. ad loc.), Paus. 2, 18, 6 | *Γέτις* nomen Thracium, cf. Mader s. v. *Γέτις*, Lex. Frühgr. Epos || **3** 2 *γὰρ καὶ ἐν ταύταις Ἅιδου* Schubart || **4** plane de descensu ad inferos | de Tantali rupe cf. Archil. fr. 91, 14 West, Alcm. fr. 79 Page, Alcaeum fr. 365 Voigt, Pind. Ol. 1, 57ss | alio supplicio ap. λ 582ss, cf. et. Paus. 10, 31, 12, Schol. Pind. Ol. 1, 91a (I 37, 7 Drachm.) || **5** de Clymena cf. λ 326 cum Schol., Eust. in Od. p. 1689, 1 (= Hes. fr. 387 M.-W.), Hes. Th. 351; 508, fr. 62 M.-W., Stesich. fr. 20 Page; cf. et. Dümmler, Kl. Schriften II 383; 387; Seve., Cycle 387ss

6 (5 K., A., B.)

Paus. 10, 30, 5 *ὑπὲρ τούτους Μαιρά ἐστιν ἐπὶ πέτραι καθεζομένη· περὶ δὲ αὐτῆς πεποιημένα ἐστὶν ἐν Νόστοις ἀπελθεῖν μὲν παρθένον ἔτι ἐξ ἀνθρώπων, θυγατέρα δὲ αὐτὴν εἶναι Προίτου τοῦ Θερσάνδρου, τὸν δὲ εἶναι Σισύφου.*

7 (6 K., A., B.)

αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα
γῆρας ἀποξύσασα ἰδυίῃσι πραπίδεσσι,
φάρμακα πόλλ' ἕψουσ' ἐνὶ χρυσείοισι λέβησιν.

8 (8 K., A., 7 B.)

δῶρα γὰρ ἀνθρώπων νόον ἤπαφεν ἠδὲ καὶ ἔργα.

7 (I) Argum. ad Eur. Med. (II 137, 12 Schw.) *περὶ δὲ τοῦ πατρὸς αὐτοῦ* (sc. *τοῦ Ἰάσονος*) *Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως·* [1—3] || (II) Schol. rec. Aristoph. Equ. 1321 (74b 52 Dübner) *ὡς δ' ὁ τοὺς Νόστους ποιήσας, καὶ τὸν Αἴσονα, λέγων οὕτως·* [1—3] || 8 Clem. Alex. Strom. 6, 2, 12, 7 *Ἀντιμάχου δὲ τοῦ Τηίου εἰπόντος·* [Epig. fr. 4], *Ἀγίας* (Thiersch: *Αὐγίας* corr. ex *Αὐγείας* L[1]) *ἐποίησεν·* [1]

7 1—2 *I* 446 *γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα* | Hymn. Ven. 224 *ἥβην αἰτῆσαι, ξῦσαί τ' ἄπο γῆρας ὀλοιόν* || 2 *A* 608 al. *η* 92 *ἰδυίῃσι πραπίδεσσι,* cf. Cyp. fr. 1, 3 *πυκιναῖς πραπίδεσσι* || 3 *δ* 230 *φάρμακα πολλά* | Pind. Is. 1, 20 *λεβήτεσσιν φιάλαισί τε χρυσοῦ* (cf. Ovid. Met. 7, 262) || 8 Epig. fr. 4 *ἐκ γὰρ δώρων πολλὰ κάκ' ἀνθρώποισι πέλονται* | *Ξ* 160 *ὅππως ἐξαπάφοιτο Διὸς νόον* | *K* 391 *παρὲκ νόον ἤπαφεν* (Arist. Byz.: *ἤγαγεν* codd.) | Hes. Th. 537 *Διὸς νόον ἐξαπαφίσκων* | Hymn. Apoll. 379 *ἐμὸν νόον ἐξαπαφοῦσα*

Paus. 2, 18, 6 *Ὀρέστου δὲ ἀποθανόντος ἔσχε Τισαμενὸς τὴν ἀρχήν, Ἑρμιόνης τῆς Μενελάου καὶ Ὀρέστου παῖς. τὸν δὲ Ὀρέστου νόθον Πενθίλον Κιναίθων ἔγραψεν ⟨ἐν⟩ τοῖς ἔπεσιν Ἠριγόνην τὴν Αἰγίσθου τεκεῖν.*

5 (5 K.)

Paus. 4, 2, 1 *πυθέσθαι δὲ σπουδῆι πάνυ ἐθελήσας, οἵτινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας* (fr. 251 b M.-W.) *καὶ τὰ ἔπη τὰ Ναυπάκτια* (fr. 12), *πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος* (fr. 12) *ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφισιν οὐδὲν πεποιημένον.*

1 1 suppl. Musurus || 1. 2 *Φαίστου, Φαῖστος* Malten, prob. Hux., Greek epic 87, at vid. Giannoulidis, *Πλάτων* 17, 1965, 117 ss || sec. Hes. fr. 140 M.-W. et Bacchyl. fr. 10 Sn.-Maehl. (= Schol. Hom. *Μ* 292) Minos Sarpedon Rhadamanthys Iovis et Europae filii sunt || de Talo cf. Apoll. Rhod. 4, 1638; 1670 *Τάλως χάλκειος*, Apollodor. Bibl. 1, 9, 26 *τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι λέγουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι* || **2** 2 *Μῆδον* Siebelis, at cf. Hes. Th. 1000 s | *πέρα* Calderini : *πέρας* **β** || de Medeo vid. Hux., Greek epic 87 || **3** 1 *δὲ* Jac. : *τε* **AVY**[b] || 2 *Ἀρίαιθος* Preller, Hulleman : *δίεθος* **A** : *δίαιθος* **VY**[a] | *Μορ(ρ)άφιον* Schol. : corr. Dind., cf. Herodt. 1, 125; 4, 167, Steph. Byz. s. v. *Μαράφιοι*, Eust. in Il. p. 400, 33 | *Νικόστρατος* **AΩ** : corr. Bek. || de re cf. Apollodor. Bibl. 3, 11, 1 *Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά τινας Νικόστρατον*, Schol. Hom. *δ* 11 (172, 1 Dind.) *οἱ δὲ νεώτεροι Ἑλένης μὲν καὶ Ἀλεξάνδρου . . . ἐκ δὲ Μενελάου Νικόστρατον γενεαλογοῦσι* | de Nicostrato vid. et. Hes. fr. 175 M.-W. (= Schol. Soph. El. 539), Lysimach. FGrHist 382 F 12 (= Cypr. fr. 12) || **4** suppl. **R**[sv]**PaVb** || de Penthilo cf. Strab. 9, 2, 5 p. 402; 13, 1, 3 p. 582; de Penthilidis prognatis ex Atridis cf. Alcae. fr. 70, 6 Voigt et adn. ad loc. || mater Erigonae Clytaemnestra, vid. Apollodor. Epit. 6, 25 *ὡς δέ τινες ὑπὸ Ἠριγόνης τῆς Αἰγίσθου καὶ Κλυταιμνήστρας* || **5** 1 *που δὴ* **β** : corr. Valck. || 3 *τὰ νῦν πάκτια* **β**

FRAGMENTA DVBIA

ΗΡΑΚΛΕΙΑ

°6 (p. 212 K.)

Schol. Apoll. Rhod. 1, 1355/57c (122, 15 Wendel) *ὅτι δὲ Κιανοὶ ὅμηρα ἔδοσαν Ἡρακλεῖ καὶ ὤμοσαν μὴ λήξειν ζητοῦντες Ὕλαν καὶ φροντίδα ἔχουσι Τραχινίων διὰ τὸ ἐκεῖσε κατοικισθῆναι ὑφ' Ἡρακλεῖ τοὺς ὁμηρεύσαντας, Κιναίθων ἱστορεῖ ἐν Ἡρακλείαι.*

°7 (p. 212 K.)

Schol. Apoll. Rhod. 1, 1165c (105, 9 Wendel) *Κιναίθων δὲ ἐν τῆι Ἡρακλείαι φησὶν ὅτι Αἰγαίων καταγωνισθεὶς ὑπὸ Ποσειδῶνος κατεποντίσθη εἰς τὸ νῦν λεγόμενον ὑπὸ τοῦ Ἀπολλωνίου ἠρίον Αἰγαίωνος, τὸν αὐτὸν καὶ Βριάρεων καλῶν.*

PHOCAIS

TESTIMONIVM

Vita Hom. Herodotea 15 (9, 30 Wil.)

διατρίβων δὲ παρὰ τῶι Θεστορίδηι ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω (Test. 8) . . . *καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἆλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων τοῦ Ὁμήρου ἐξιδιώσασθαι.* quae sequuntur vid. ad Il. parv. Test. 8

Welck., Ep. Cyclus II 422 ss falso credidit Phocaidem idem carmen atque Minyadem fuisse. Càssola, Stud. It. Filol. Class. 26, 1952, 141 ss, Phocaidem Phocaeae civitatis originem celebravisse existimans, colligit quae de Phocaeensibus dicta a Phocaide carmine sumpta videantur: Steph. Byz. s. v. *Φώκαια*, Heraclid. Pont. ap. Aristot. fr. 611, 67 Rose, Nicol. Damasc. FGrHist 90 F 51, Paus. 7, 3, 10, Char. Lamps. FGrHist 262 F 7

6 3 *Κόνων* Seeliger, Bernhardy; deest ap. FGrHist 26 || de re cf. Vian ad Apoll. Rhod. praef. 39 adn. 2 || **7** 1 *Κόνων* Schol., cf. FGrHist 26 F 2 : corr. Keil e Schol. Apoll. Rhod. 1, 1355/57c prob. Tuerk || de Aegaeone sive Briareo cf. *Α* 403 s *ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες / Αἰγαίων'*, Tit. fr. 3 || sec. Wendel *ἠρίον Αἰγαίωνος* mare Aegaeum esse videtur, cf. Steph. Byz. s. v. *Κάρυστος*

PHORONIS

TESTIMONIVM

P. Oxy. 2260 I 28 saec. II p. Ch., prim. ed. Lobel, cf. et. Merk., Arch. f. Papyrusf. 16, 1956, 115

οὗτοι (sc. *Φιλητᾶς καὶ ὁ τὴν Φορωνίδα πεποιηκώς*) *μὲν ο[ὖν] καὶ ἐν ἑτέροις πολλο[ῖς] τὴν τοιαύτην τῶν ὀν[ομάτων μετάθεσιν* (dub. Merk.) . . .]*ου[σιν*

Nemo Phoronidis auctorem laudat

ΦΟΡΩΝΙΣ

auctor anonymus saec. VII/VI

1 (1 K.)

πατέρα θνητῶν ἀνθρώπων

2 (2 K.)

ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον,
Κέλμις Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄκμων,
εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης,

1 Clem. Alex. Strom. 1, 21, 102, 6 (idem trad. Euseb. Praep. Ev. 10, 12, 10) *Ἀκουσίλαος* (FGrHist 2 F 23a) *γὰρ Φορωνέα πρῶτον ἄνθρωπον* (*ἀνθρώπων* Eus.) *γενέσθαι λέγει· ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν ἔφη 'πατέρα — ἀνθρώπων'* || 2 Schol. Apoll. Rhod. 1, 1126/31b (102, 1 Wendel) *ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφει οὕτως·* [1—7]

1 *Α* 339 al. *α* 219 al. Hymn. Merc. 144 al. Hes. Th. 887 al. *θνητῶν ἀνθρώπων* || 2 1—2 Hes. Th. 758 *ἔνθα . . . οἰκί' ἔχουσιν* || 2 *Ζ* 15 al. *δ* 555 al. *οἰκία ναίων* (*υ* 288 *ναῖεν*)

1 de Phoroneo et. scripserunt Hes. fr. 122ss M.-W., Acusilaus FGrHist 2 F 23ass, Hellanic. FGrHist 4 F 1ss, Apollodor. Bibl. 2, 1, 1, Hygin. fab. 143; 274, P. Oxy. 1241, 4, 3ss al., cf. Frinkenhaus, Tiryns I, 1912, 19ss; Weizsäcker, Phoroneus, Myth. Lex. III 2, 2435ss; Rob., Heldens. 279ss; Schmidt, Phoroneus, RE XX 1 (1941) 645s; Stoessl, Phoronis 2, ib. 646ss; Ruiz de Elvira, Cuad. Filol. Clás. 1, 1971, 88ss | ap. Acusil. FGrHist 2 F 23a Phoroneus *πρῶτος ἄνθρωπος* appellatur, cf. et. fr. 7 || 2 1 *ἐνθάδε* L | de *γόητες* cf. Burkert, Rh. Mus. 105, 1962, 39 || 2 mons Ida Phrygius, non Cretensis (sed cf. Plin. Nat. hist. 7, 197 *ferrum Hesiodus* (fr. 282 M.-W.) *in Creta eos qui vocati sunt Dactyli Idaei*) || 3 cf. Clem. Alex. Strom. 1, 16, 75, 4 *Κέλμις τε αὖ καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων Δακτύλων πρῶτοι σίδηρον εὗρον ἐν Κύπρωι, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος* (fr. 282 M.-W.) *Σκύθης* sed cf. quae in ap. crit. coni. M.-W., vid. et. Pherecyd. FGrHist 3 F 47, Marm. Par. FGrHist 239 F 11 || 4 *εὐπάλαμοι* non Homericum

οἳ πρῶτοι τέχνῃς πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις ἰόεντα σίδηρον
ἐς πῦρ τ' ἤνεγκαν καὶ ἀριπρεπὲς ἔργον ἔτευξαν.

3 (3 K.)

Strab. 10, 3, 19 p. 472 ὁ δὲ τὴν Φορωνίδα γράψας αὐλητὰς καὶ Φρύγας τοὺς Κουρῆτας λέγει.

4 (4 K.)

Καλλιθόη κλειδοῦχος Ὀλυμπιάδος βασιλείης,

4 Clem. Alex. Strom. 1, 24, 164, 1 πρὶν γοῦν ἀκριβωθῆναι τὰς τῶν ἀγαλμάτων σχέσεις κίονας ἱστάντες οἱ παλαιοὶ ἔσεβον τούτους ὡς ἀφιδρύματα (Victorius : ἀμφι- L) τοῦ θεοῦ. γράφει γοῦν ὁ τὴν Φορωνίδα ποιήσας· [1–3]

5 θ 327 τέχνας ... πολύφρονος Ἡφαίστοιο | Φ 355 πολυμήτιος Ἡφαίστοιο (cf. Apoll. Rhod. 1, 851 Ἡ. ... π.) || 6 Ψ 850 ἰόεντα σίδηρον (dat. Quint. Smyr. 6, 48) || 4 1–2 Aesch. Suppl. 291–292 κλῃδοῦχον Ἥρας ... / Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείαι χθονί

5 verbum πρῶτος frequens in Phoron., cf. Stoessl, Phoronis 2, RE XX 1 (1941) 647; vid. et. fr. 4 | τέχνῃς dub. West in Hes. Th. 865 : τέχνην Schol. || 6 cf. Hes. Th. 865 οὔρεος ἐν βήσσῃσι | de re cf. Blümner, Technologie und Terminol. der Gewerbe u. Künste bei Griechen u. Römern IV 216s, West ad Hes. Op. 150 p. 188s | ἰόεντα (ῐ melius quam ρε) | de σίδηρον cf. West ad Hes. Op. 150 p. 188s || 7 ἤνεγκάν τ' ἐς πῦρ Wil. | ἔτευξαν Wendel : ἔδειξαν Schol. || sec. Rob., Heldens. 279, probantibus Stoessl 647, Hux., Greek epic 32, Phoroneus ignem ferens (cf. fr. 8) Dactylis facultatem ferri excudendi dedit | Kaib., GGN 1901, 504 cultum Dactylis in Argolide fuisse censet, quod est demonstrandum | Bethe, Hermes 24, 1889, 413 adn. 2 putat Dactylos eosdem atque Curetes : recte repugnavit Poerner, De Curetibus et Corybantibus, Halle 1913, 380 || de re cf. Hygin. fab. 274 *Phoroneus Inachi filius arma Iunoni primus fecit. qui ob eam causam primus regnandi potestatem habuit*, et Cassiod. Var. 7, 18 *hoc primum Phoroneus Iunoni dicitur obtulisse, ut inventum suum numinis, ut putabant, auspicio consecraret*, cf. Knaack, Hermes 16, 1881, 586. haec arma Dactylos fabricavisse veri simillimum videtur || **3** cf. Strab. 10, 3, 19 p. 471 Ἡσίοδος μὲν γὰρ †Ἑκατέου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν, ἐξ ὧν ... 'Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες' (Hes. fr. 123, 3 M.-W.), vid. et. Schol. Apoll. Rhod. 1, 1126–1131a (100, 15 Wendel), Soph. fr. 364 Radt | de Curetibus in Epaphi historia cf. Apollodor. Bibl. 2, 1, 3, cf. et. Danaid. fr. 3 et Hux., Greek epic 37 || 4 1 Καλλιθόη est Io, filia Pirantis, cf. Hesych. s. v. Ἰὼ Καλλιθύεσσα (= Hes. fr. 125 M.-W. = Callim. fr. 769 Pf.)· Καλλιθύεσσα ἐκαλεῖτο ἡ πρώτη ἱέρεια τῆς Ἀθηνᾶς (τῆς ἐν Ἄργει Ἥρας Knaack : τῆς Ἀνθείας ⟨Ἥρας⟩ Latte) et Aesch. Suppl. 291s (vid. loc. sim.); cf. et. Plut. fr. 158 Sandb. (= Euseb. Praep. Ev. 3, 8, 1), Aristid. Rhet. p. 284 Behr (= II 3, 8 Dind.) et Schol. III p. 361 Dind., Euseb. Chron. II 20 Schöne, Schol. Arat. 161 (161, 14 Martin), Apollodor. Bibl. 2, 1, 3 Ἡσίοδος (fr. 124 M.-W.) δὲ καὶ Ἀκουσίλαος (FGrHist 2 F 26) Πειρῆνος αὐτήν (sc. τὴν Ἰώ) φασιν εἶναι, vid. et. Meyer, Forschungen zur alten Geschichte I, Halle 1892, 90ss; Wil., Aischyl. Interpr., Berlin 1914, 25 adn. 1; Jac., Hermes 57, 1922, 370ss; comm. ad Acusil. FGrHist 2 F 26 et ad Hellanic. FGrHist 4 F 74ss; Eitrem, Io, RE IX 2 (1916) 1733; Scherling, Kallithoe 2, RE X 2 (1919) 1750s; Pf. ad Callim. fr. 769; Wehrli, Theoria und Humanitas 88ss | κλειδοῦχος non Homericum

Ἥρης Ἀργείης, ἣ στέμμασι καὶ θυσάνοισι
πρώτη κόσμησεν περὶ κίονα μακρὸν ἀνάσσης

5 (5 K.)

Ἑρμείαν δὲ πατὴρ ἐριούνιον ὠνόμασ' αὐτόν·
πάντας γὰρ μάκαράς τε θεοὺς θνητούς τ' ἀνθρώπους
κέρδεσι κλεπτοσύνῃσι τ' ἐκαίνυτο τεχνηέσσαις.

6

οὐδ' ἔτι κούρ[η
ἀρκέσει ἐγρεμάχη [δο]λιχάορος ἀγρομέ[νοισιν

5 Et. m. 374, 18 *ἐριούνιος : χθόνιος, ἀγαθός, πολυωφελής, κλέπτης, μέγας. ἔστι δὲ ἐπίθετον Ἑρμοῦ. εἴρηται δὲ καὶ ἐπὶ ἄλλων ἁπλούστερον. ... ἢ ἀπὸ τῆς ἐρευνήσεως· καὶ γὰρ ὁ τὴν Φορωνίδα γράψας* (Gaisford : *γράφων* cod.) *φησίν·* [1–3] || 6 P. Oxy. 2260 I 3 saec. II p. Ch. (prim. ed. Lobel, cf. et. Snell, Gnomon 25, 1953, 433; Merk., Arch. f. Papyrusf. 16, 1956, 115) *καὶ ὁ τὴν Φορ[ωνίδα] πεποιηκώς, ἐν ο[ἷς φη]σιν·* [1–2]

2 Hes. Th. 11–12 *Ἥρην / Ἀργείην* | *Δ* 8 al. *Ἥρη τ' Ἀργείη* || 3 *θ* 66 al. *κίονα μακρόν* || 5 1 *Ω* 679 *Ἑρμείαν ἐριούνιον* (cf. Hymn. Hom. 19, 28) | Hymn. Cer. 407 Hymn. Merc. 3 *Ἑρμῆς ... ἐριούνιος* (cf. Aristoph. Ran. 1144s) || 2 Hes. Th. 101 *μάκαράς τε θεούς* (cf. Hymn. Cer. 325, nom. *Α* 406 al.) | Hes. Th. 588 Hymn. Merc. 9 al. *θεοὺς θνητούς τ' ἀνθρώπους* | *Ξ* 199 *ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους* | Hymn. Merc. 144 al. *οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων* || 3 *τ* 395–397 *ὃς ἀνθρώπους ἐκέκαστο / κλεπτοσύνῃ ... θεὸς δέ οἱ αὐτὸς ἔδωκεν / Ἑρμείας* || 6 1–2 Orph. Hymn. Prol. 38 *ἐγρεμάχην κούρην* | Hymn. Cer. 424 *Παλλάς τ' ἐγρεμάχη* | Orac. (Parke-Wormell n. 71) ap. Diod. Sic. 8, 29 *Παλλάδι τ' ἐγρεμάχῃ* | IG I³ 617 (= P. A. Hansen, Carmina epigraph. Graeca, 1983, 194; cf. IG I³ 878 = Hansen 277) *[Παλ]λάδι μ' ἐγρεμάχαι* || 2 Philitas fr. 23 Powell *Ἀθηναίης δολιχαόρου*

2 de *Ἀργείης* cf. Kaib., GGN 1901, 504; Frinkenhaus, Tiryns I, 1912, 20; Stoessl l. l. 649; Hux., Greek epic 33s (qui credit *Ἀργείης* non de Argis civitate, sed de luco prope Tirynthem, de quo cf. Herodot. 6, 78ss, dici) || 3 *ἐκόσμησε* cod. : corr. edd. | de *κίονα* cf. Paus. 2, 17, 5 *παρὰ δὲ αὐτήν ἐστιν ἐπὶ κίονος ἄγαλμα Ἥρας ἀρχαῖον* et Jeffery ap. Hux., Greek epic 33 | sec. Stählin deest e. g. *⟨δήσασα⟩* || 5 1 *αὐτός* **ST** : *αὖ* **D** : corr. Gaisford | de *ἐριούνιον* cf. Bergk, Philologus 11, 1856, 384; Latte, Glotta 34, 1955, 192ss; Ruijgh, L'élément achéen, Assen 1957, 136; 142 || 3 *κλεπτοσύναις τ' ἐξαίνυτο* **L** : corr. Hemst. || Mercurius in Phoronei fabula invenitur ap. Hygin. fab. 143, sed in Ius fabula ap. Apollodor. Bibl. 2, 1, 3, cf. et. Radermacher, Sitzungsb. Akad. Wien Phil. Hist. Kl. 1931, 58; sec. Hux., Greek epic 34 de Mercurii ortu || 6 1 vel *οὐδέ τι* ed. pr. | vel *κούρ[οις, -αις* ed. pr., sed cf. Orph. Hymn. Prol. 38 (vid. loc. sim.) || 2 *ἀγρομέ[νοισιν* vel *-ησιν* ed. pr. | .. *κομε[* *γρ* suprascr. unde ed. pr. in ap. crit. '*ἀλκ-*, wich is almost certainly what was originally written, raises the question whether *Ἀλκομενηΐς* could be entertained as an otherwise unattested variant form of *Ἀλαλκομενηΐς*' | de voce *δολιχάορος* cf. comm. (Apollodor.?) ad loc. P. Oxy. 2260, 8ss *οὔτε γὰρ τὴν Ἀθηνᾶ[ν ξι]φηφοροῦσαν εἰσάγ[ου]σιν, οὔθ' οἱ τοῖς πο[ιητι]κοῖς ὀνόμασι κατὰ τ[ρό]πον χρώμενο[ι] τὸ [ἄορ] ἀντὶ τοῦ δόρ[ατο]ς [τ]άττ[ο]υσι⟨ν⟩ ὥστε τὴν οἱ[ο]νεὶ δολιχεγχῆ δολιχάορον λέγεσθαι*

FRAGMENTA DVBIA

°7

Paus. 2, 15, 5 *λέγεται δὲ καὶ ὧδε λόγος· Φορωνέα ἐν τῆι γῆι ταύτηι γενέσθαι πρῶτον, Ἴναχον δὲ οὐκ ἄνδρα, ἀλλὰ τὸν ποταμὸν πατέρα εἶναι Φορωνεῖ· τοῦτον δὲ Ποσειδῶνι καὶ Ἥραι δικάσαι περὶ τῆς χώρας, σὺν δὲ αὐτῶι Κηφισόν τε καὶ Ἀστερίωνα {καὶ τὸν Ἴναχον ποταμόν}· κρινάντων δὲ Ἥρας εἶναι τὴν γῆν, οὕτω σφίσιν ἀφανίσαι τὸ ὕδωρ Ποσειδῶνα. καὶ διὰ τοῦτο οὔτε Ἴναχος ὕδωρ οὔτε ἄλλος παρέχεται τῶν εἰρημένων ποταμῶν ὅτι μὴ ὕσαντος τοῦ θεοῦ· θέρους δὲ αὖά σφισίν ἐστι τὰ ῥεύματα πλὴν τῶν ἐν Λέρνηι. Φορωνεὺς δὲ ὁ Ἰνάχου τοὺς ἀνθρώπους συνήγαγε πρῶτον ἐς κοινόν, σποράδας τέως καὶ ἐφ' ἑαυτῶν ἑκάστοτε οἰκοῦντας· καὶ τὸ χωρίον ἐς ὃ πρῶτον ἠθροίσθησαν ἄστυ ὠνομάσθη Φορωνικόν.*

°8

Paus. 2, 19, 5 *οὐ γάρ τι ὁμολογοῦσι* (sc. *οἱ Ἀργεῖοι*) *δοῦναι πῦρ Προμηθέα ἀνθρώποις, ἀλλὰ ἐς Φορωνέα τοῦ πυρὸς μετάγειν ἐθέλουσι τὴν εὕρεσιν.*

DANAIS

TESTIMONIVM

IG XIV 1292 (Tabula Borgia) 2, 10, saec. I p. Ch. (vid. et. Sadurska, Tables Iliaques 58ss)

καὶ Δαναΐδας ,ϛφ' ἐπῶν

titulus *Δαναΐς* ap. Clem. Alex. (fr. 1), Harpocr. (fr. 2), Philodem. (fr. 3); auctoris nomen nemo laudat. de historia vid. Meyer, Forschungen zur alten Geschichte I, Halle 1892, 77ss

7 e Phoronide sec. Rob., Heldens. 279 adn. 3, probante Stoessl l. l. 647 || 4 del. Siebelis | *οὕτω σφίσιν* Siebelis : *οὕτως φησὶν β* || 9 *ἄστυ Φορωνικόν* probabiliter in carmine erat (cf. Steph. Byz. s. v. *Ἄργος· ἥτις Φορωνικὸν ἄστυ ἐκέκλητο*), vid. et. Meyer, Forschungen zur alten Geschichte I 89 || de Phoroneo culturae heroe cf. P. Oxy. 1241, 4, 3ss [*ἐδίκασε*] *δὲ τοὺς ἐμφυλίους* [(*ἐν* ed. pr. : *πρῶτος* Stoessl) *δικασ*]*τήριον ποιήσας* [*Φορωνεὺ*]*ς ὁ Ἰνάχου*, Hygin. fab. 143 (Phoroneus) *homines ante saecula multa sine oppidis legibusque vitam exegerunt* || 8 e Phoronide sec. Stoessl l. l. 647; de re cf. fr. 2 et Schol. Soph. El. 4 (98, 1 Papageorgios)

ΔΑΝΑΙΣ

auctor anonymus — saec. VI?

1 (1 K.)

καὶ τότ᾽ ἄρ᾽ ὡπλίζοντο θοῶς Δαναοῖο θύγατρες
πρόσθεν ἐυρρεῖος ποταμοῦ Νείλοιο ἄνακτος.

2 (2 K.)

Harpocr. Lex. s. v. *αὐτόχθονες* (68, 12 Dind.) *ὁ δὲ Πίνδαρος* (fr. 253 Sn.-Maehl.) *καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον †καὶ Ἥφαιστον† ἐκ γῆς φανῆναι* || cf. IG XIV 1292 (Tabula Borgia) 2, 1 (vid. et. Sadurska, Tables Iliaques 59) *[Ἀθηνᾶς δὲ φευγούσης τὸν] Ἥφαιστον καὶ μὴ προσδ[εχο]μένης τὸ λέχος τῆς γονῆς ἐπὶ τὴν γῆν πεσούσης ἐπιγεννᾶται ὁ Ἐριχθόνιος.*

3 (3 K.)

Philodem. De piet. (P. Hercul. 1088 VI 21ss, p. 42 Gomperz) *παρὰ δὲ τῶι ποή[σαν]τι τὴν Δανα[ΐδα] μητρὸς τῶν θ[εῶν θ]εράπον[τ]ες [Κου]ρῆτες.*

1 Clem. Alex. Strom. 4, 19, 120, 4 *τὰ ὅμοια λέγει καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς ἐπὶ τῶν Δαναοῦ θυγατέρων ὧδε·* [1–2] *καὶ τὰ ἑξῆς*

1 1 *Η* 405 al. *ψ* 247 al. *καὶ τότ᾽ ἄρ᾽* || 2 *Ζ* 508 al. *ἐυρρεῖος ποταμοῖο*

1 1 *Δαναοῖο ἄνακτος* – 2 *Νείλοιο θύγατρες* Köch. | Nilum Homerus Aegyptum vocat, cf. Seve., Cycle 177 | de Danaidibus vid. Hes. fr. 128s M.-W., Melanippid. fr. 1 Page | Danaidum nomina ap. Apollodor. Bibl. 2, 1, 5, unde Schol. Hom. *Δ* 42 et ap. Hygin. fab. 170 inveniuntur; vid. Schwartz, Jahrb. f. Class. Philol. 147, 1895, 95s; Rob., Heldens. 267 et adn. 3 || de re narrata vid. Apollodor Bibl. 2, 1, 4 *στασιασάντων δὲ αὐτῶν* (sc. *Αἰγύπτου καὶ Δαναοῦ*) *περὶ τῆς ἀρχῆς ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικώς, ὑποθεμένης Ἀθηνᾶς αὐτῶι ναῦν κατεσκεύασε πρῶτος καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε,* sec. Meyer, Forschungen zur alten Geschichte I 82 adn. 3, at cf. Wil., Aischyl. Interpr. 15s; Kraus, Aus Allem Eines, Heidelberg 1984, 87 | de re cf. et. Waser, Danaïdes, RE IV 2 (1901) 2087ss || 2 2 *ἐξ Ἡφαίστου καὶ* Düntzer, Welck. : *τὸν Ἡφαίστου ἐκ* Schroeder || 4 suppl. Heeren | *προσδ[εχο]μένης* Ebert : *προσδ[εξα]μένης* Heeren || 5 *ἐπὶ τὴν γεννᾶται* inscr. : *THN* autem a lapicida tribus lineolis supra scriptis deletum est, ergo *ἐπιγεννᾶται* legendum esse recte suspicatur Ebert : *ἐπὶ τὴν* del. Kaib. || de re cf. Apollodor. Bibl. 3, 14, 6 et Frazer adn. ad loc., Schol. Hom. *Β* 547 (Ludw., Textkr. Unt. IV 3), Schol. Plat. Tim. 23e (284 Greene), Philodem. De piet. (P. Hercul. 243 II 16ss, p. 10 Gomperz, cf. Henrichs, Cron. Erc. 13, 1983, 37; 39, Callim. ap. Lloyd-Jones-Parsons, Suppl. Hell. 307, Luppe, Cron. Erc. 14, 1984, 110; 114); vid. et. Hux., Greek epic 35s || 3 omnia suppl. Gomperz | de Curetibus vid. ad Phoron. fr. 3

CARMEN NAVPACTIVM

TESTIMONIVM

Paus. 10, 38, 11

τὰ δὲ ἔπη τὰ Ναυπάκτια ὀνομαζόμενα ὑπὸ Ἑλλήνων ἀνδρὶ ἐσποιοῦσιν οἱ πολλοὶ Μιλησίωι· Χάρων (FGrHist 262 F 4) *δὲ ὁ Πύθεώ φησιν αὐτὰ ποιῆσαι Ναυπάκτιον Καρκίνον. ἑπόμεθα δὲ καὶ ἡμεῖς τῆι τοῦ Λαμψακηνοῦ δόξηι· τίνα γὰρ καὶ λόγον ἔχοι ἂν ἔπεσιν ἀνδρὸς Μιλησίου πεποιημένοις ἐς γυναῖκας τεθῆναί σφισιν ὄνομα Ναυπάκτια;*

Titulus *Ναυπάκτια* et. in frr. 9; 12, in frr. 1; 2; 3; 4; 5; 6; 8; 10 autem *Ναυπακτικά* invenitur, in fr. 11 *Ναυπακτιακά* ut videtur; de titulorum variatione cf. *Κύπρια/Κυπριακά*; praeter Pausaniam nemo carminis auctoris nomen laudat
Naupactiae historiam ut vid. Herodorus ita fideliter sequitur ut ex Herodori fragmentis (FGrHist 31) eorum argumentum quodam modo restitui possit

ΝΑΥΠΑΚΤΙΑ

auctor Carcinus Naupactius? saec. VI?

1 (1 K.)

τὴν δὲ μεθ' ὁπλοτάτην Ἐριώπην ἐξονόμαζεν,
Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν.

1 Schol. Hom. *O* 336c (IV 82 Erbse) *ὁμοίως τῶι ποιητῆι καὶ Ἑλλάνικος* (FGrHist 4 F 121) *Ἐριώπην τὴν* (*τὴν Ἐριώπην* **T** : transp. Erbse, qui suspicatur *Ἐριώπιδα τὴν*) *μητέρα Αἴαντός φησιν. Φερεκύδης δὲ ἐν πέμπτωι* (Kink. in ap. crit. : *ἐνεω* **T**(**V**) : *ἐν ε̅ω̅'* Marcksch.; FGrHist 3 F 24) *καὶ Μνασέας ἐν ὀγδόωι* (Erbse : *ἢ* **T**; FHG III 153 fr. 19) *Ἀλκιμάχην, ὁ δὲ τῶν Ναυπακτικῶν* (Bek. : *ναπακτίδων* **T**[**V**]) *ποιητὴς διώνυμον αὐτήν φησι·* [1–2]

1 1 Hes. Th. 137 *τοὺς δὲ μέθ' ὁπλότατος* (cf. Hes. fr. 26, 31 M.-W.) | Cyp. fr. 9, 1 *τοὺς δὲ μέτα τριτάτην* || 2 Hes. Th. 207 *τοὺς δὲ πατὴρ . . . καλέεσκε*

1 1 *μεθοπλοτάτην* Jac. : at vid. Hes. fr. 26, 31 M.-W. | *ἐξονόμασεν* **T**(v) : corr. Bek. || subiectum orationis Oïleum esse censet Hux., Greek epic 70, sed Periclymenen aut Clymenen Matthews, Phoenix 31, 1977, 190s, cf. Hygin. fab. 14, 2 *Admetus Pheretis filius, matre Periclymene Minyae filia ex Thessalia*, Schol. Eur. Alc. 16 (II 217, 28 Schw.) *μήτηρ Ἀδμήτου Κλυμένη* | Eriopa (*Ἐριῶπις* sec. *N* 697, *O* 336), Pheretis filia et Admeti soror, Oïlei uxor est || de re vid. et. Valk, Researches I 454 adn. 213

2 (2 K.)

ἀλλ' ὁ μὲν οὖν ἐπὶ θινὶ θαλάσσης εὐρυπόροιο
οἰκία ναιετάασκε πολύρρην πουλυβοώτης.

3 (3 K.)

Schol. Apoll. Rhod. 2, 299 (150, 14 Wendel) *κευθμῶνα Κρήτης*] *κοιλάδα τῆς Κρήτης κατέδυσαν* (sc. *Ἅρπυιαι*). *τοῦτο δέ φησι καὶ Νεοπτόλεμος* (FGrHist 702 F 4a). *ὁ ⟨δὲ⟩ τὰ Ναυπακτικὰ ποιήσας καὶ Φερεκύδης ἐν ἕκτωι* (FGrHist 3 F 29) *φασὶν εἰς τὸ σπέος αὐτὰς φυγεῖν τῆς Κρήτης τὸ ὑπὸ τῶι λόφωι τῶι Ἀργινοῦντι.*

4 (5 K.)

Schol. Apoll. Rhod. 3, 515 (234, 10 Wendel) *ὁ μὲν Ἀπολλώνιος τούτους φησὶ προαιρεῖσθαι ζεῦξαι τοὺς βόας, ὁ δὲ τὰ Ναυπακτικὰ πάντας ἀριθμεῖ τοὺς ἀπ' Ἄργους φερομένους ἀριστεῖς.*

5 (6 K.)

Schol. Apoll. Rhod. 3, 523 (234, 13 Wendel) *ἀλλά τιν' οἴω / μητρὸς ἐμῆς*] *δύναται, φησίν* (sc. *Ἄργος*), *ἡ μήτηρ ἡ ἐμὴ πεῖσαι τὴν Μήδειαν συνεργῆσαι τὸν ἆθλον. ἐν δὲ τοῖς Ναυπακτικοῖς Ἴδμων ἀναστὰς Ἰάσονι κελεύει ὑποστῆναι τὸν ἆθλον.*

2 (I) Herodian. *περὶ μονήρους λέξεως* 15 (II 922, 4 Lentz) *ἐν συνθέσει* (Bloch : *ἐν ἀντιθέσει* codd.) *πολύρρην παρὰ τῶι τὰ Ναυπακτικὰ ποιήσαντι·* [1–2] ‖ (II) Herodian. *περὶ καθολ. προσωιδ.* 1 (I 16, 19 Lentz) *πολύρρην παρὰ τῶι τὰ Ναυπακτικὰ ποιήσαντι·* [1–2]

2 1 Hes. fr. 204, 102 M.-W. *ἀλλ' οἱ μ[έ]ν* | *Δ* 248 *γ* 5 al. *ἐπὶ θινὶ θαλάσσης* | *δ* 432 *παρὰ θῖνα θαλάσσης εὐρυπόροιο* | *Ο* 381 *μ* 2 *θαλάσσης εὐρυπόροιο* (Aesch. Pers. 109 *εὐ. θα.*) ‖ 2 *Ρ* 308 *οἰκία ναιετάασκε* (Hymn. Merc. 555 *ναιετάουσιν*) | *Ι* 154 al. Hes. fr. 240, 3 M.-W. *ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται* | Aristeas fr. 5, 3 *πολύρρηνας πολυβούτας* | Apoll. Rhod. 3, 1086 *εὔρρηνός τε καὶ εὔβοτος*

2 1 *οὖν ἐπὶ θινὶ* Cramer : *οὖν ἐπινενσὶ* codd. : *οὖν ἐπὶ νησοὶ* Marcksch. : *οὐκ ἀπάνευθε* Lobeck ‖ 2 *οἰκίαν . . . πολυβοώτης* codd. : corr. Dind. | *πολύρρηνος, πολυβούτης* Peppmüller | *πουλυβοώτης* hapax ‖ subiectum orationis vel Admetum vel Pheretem vel Aesonem Iasonis patrem vel Peliam esse censet Matthews, Phoenix 31, 1977, 191ss | fortasse regio de qua loquitur Iolcos est, cf. *λ* 256s *Πελίης μὲν ἐν εὐρυχόρωι Ἰαωλκῶι / ναῖε πολύρρηνος* ‖ 3 3 add. Keil | *ἕκτωι* scripsi : *ς'* L : *γ'* P | *φασὶν* Keil : *φησὶν* Schol. ‖ de Harpyiis postquam Zetes et Calais illas expulerunt; de re cf. Apoll. Rhod. 2, 273ss, vid. et. Schol. Apoll. Rhod. 2, 271b (147, 20 Wendel) *ὅτι διὰ τοῦ Αἰγαίου πόντου καὶ τοῦ Σικελικοῦ αὐτὰς ἐδίωκον, Φερεκύδης* (FGrHist 3 F 28) *ἐν ς' φησί*, sec. Matthews, Phoenix 31, 1977, 193 Pherecydes fortasse historiam a Naup. mutuatus est ‖ 4 2 *ἀπ' Ἄργους* Matthews : *ὑπ' Ἀργοῦς* Rob. (Heldens. 795 adn. 2) : *ὑπ' αὐτοῦ* Schol. ‖ 3 post *ἀριστεῖς* transp. Matthews e cod. Paris. *ἔτι δὲ ὁ μὲν Ἀπολλώνιος Ἄργον φησὶν ἐμποδίσαι τοὺς ἥρωας ὑποστῆναι βουλομένους τὸν ἀγῶνα· ἐν δὲ τοῖς Ναυπακτικοῖς – τὸν ἆθλον* (fr. 5) | de re cf. et. Vian, Apoll. Rhod. III p. 5s, cf. Pind. Pyth. 4, 220ss ‖ 5 2–3 *ἐν – ἆθλον* post fr. 4 transp. Matthews ‖ 3 *κωλύει* Ribbeck ‖ sec. Apoll. Rhod. 2, 815ss Idmon in Bithynia mortuus erat

6 (4 + 7 K.)

δὴ τότ' ἄρ' Αἰήτηι πόθον ἔμβαλε δῖ' Ἀφροδίτη
Εὐρυλύτης φιλότητι μιγήμεναι, ἧς ἀλόχοιο,
κηδομένη φρεσὶν ἧισιν, ὅπως μετ' ἄεθλον Ἰήσων
νοστήσηι οἰκόνδε σὺν ἀγχεμάχοις ἑτάροισιν.

7 (8 K.)

φευγέμεν ἐκ μεγάροιο θοὴν διὰ νύκτα μέλαιναν

*

ποδοψοφίην ἀίουσα

6 (I) Schol. Apoll. Rhod. 4, 86 (266, 23 Wendel) *ὁ μὲν Ἀπολλώνιός φησι νυκτὸς πεφευγέναι τὴν Μήδειαν ἐπὶ τὴν ναῦν, Αἰήτου συνέδριον ἔχοντος Κόλχων περὶ διαφθορᾶς τῶν ἡρώων· ὁ δὲ τὰ Ναυπακτικὰ πεποιηκὼς ὑπὸ Ἀφροδίτης φησὶ τὸν Αἰήτην κατακοιμηθῆναι ἐπιθυμήσαντα τῆι αὐτοῦ γυναικὶ συγγενέσθαι, δεδειπνηκότων παρ' αὐτῶι τῶν Ἀργοναυτῶν* (Keil : *Κόλχων* Schol.) *καὶ κοιμωμένων, διὰ τὸ βούλεσθαι αὐτὸν τὴν ναῦν ἐμπρῆσαι* [1–4] || (II) Schol. Apoll. Rhod. 4, 66a (266, 9 Wendel, qui novum scholium constituit ex iis, quae in cod. scholio 59–61a adhaerent) *παρὰ* {*δὲ*} *τῶι τὰ Ναυπακτικὰ πεποιηκότι οὐκ ἔστι κατὰ τὴν ἰδίαν προαίρεσιν ἐξιοῦσα ἡ Μήδεια, ἀλλ' ἐφ' ἑστίασιν* (Marcksch. : *ἐφ' ἑστίαν* Schol. : *ἐφέστιος* Keil) *καλουμένων τῶν Ἀργοναυτῶν* (Wendel : *καλουμένη* [*ἀνακαλουμένη* Keil]. *οἱ γὰρ Ἀργοναῦται* Schol.) *κατ' ἐπιβουλήν, ἐνστάντος τοῦ τῆς ἀναιρέσεως αὐτῶν καιροῦ* (hic lac. stat. Keil), *προτραπομένου δὲ τοῦ Αἰήτου ἐπὶ τὴν Εὐρυλύτης τῆς γυναικὸς συνουσίαν, Ἴδμονος ὑποθεμένου τοῖς Ἀργοναύταις ἀποδιδράσκειν* (*-κουσιν* Marcksch.), *καὶ Μήδεια συνεκπλεῖ* || (III) Schol. Apoll. Rhod. 3, 240 (227, 2 Wendel, qui ad versum 240 tribuit: ad versum 242 cod.) ⟨*σὺν ἔῆι ναίεσκε δάμαρτι*]⟩ *ὁ τὰ Ναυπακτικὰ πεποιηκὼς Εὐρυλύτην* (*Ἐριαύγην* Paris.) *αὐτὴν λέγει* || 7 Schol. Apoll. Rhod. 4, 86 (267, 10 Wendel) *ὁ δὲ Ἴδμων συνῆκε τὸ γεγονὸς καί φησι·* [1]. *τὴν δὲ Μήδειαν τὴν ποδοψοφίαν ἀκούσασαν ἀναστᾶσαν συνεξορμῆσαι. λέγει δὲ καὶ Ἡρόδωρος* (FGrHist 31 F 53) *ταῦτα*

6 1 *θ* 381 *δὴ τότ' ἄρ'* | *P* 118 *σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων* | *B* 820 al. *υ* 68 al. *δῖ' Ἀφροδίτη* || 1–2 Hymn. Hom. 19, 33–34 *πόθος . . . / . . . φιλότητι μιγῆναι* || 2 Hymn. Ven. 150 al. *φιλότητι μιγῆναι* | *Z* 161 al. *φιλότητι μιγήμεναι* (cf. Hes. Th. 306, Sc. 36) | *B* 292 *γ* 235 al. Hes. fr. 257, 2 M.-W. *ἧς ἀλόχοιο* || 3 *Λ* 794 *α* 322 al. Hes. Op. 47 al. Titan. fr. 5, 5 *φρεσί(ν) ἧισι(ν)* || 4 *E* 687 *νοστήσας οἰκόνδε* | *Π* 248 *ξὺν . . . ἀγχεμάχοις ἑτάροισιν* || 7 1 *τ* 533 *ἐλθέμεν ἐκ μεγάροιο* | *K* 394 Hes. Th. 481 *θοὴν διὰ νύκτα μέλαιναν* | *μ* 284 *διὰ νύκτα θοήν* (dat. *M* 463 al.) | Hes. Th. 788 *διὰ νύκτα μέλαιναν* (cf. Hes. Th. 20)

6 2 Aeetae uxor Idyia sec. Hes. Th. 960, Apoll. Rhod. 3, 243 al., Apollodor. 1, 9, 23 etc. | de Veneris actionibus in Naup. cf. Matthews, Phoenix 31, 1977, 199 (et de fr. 6 et 7 vid. 197 ss) || 3 *ἄεθλον* i. e. draconem vigilem occidere (etiamne Aeetae boves iungere?), vid. Rob., Heldens. 791 adn. 4; 796; Matthews, Phoenix 31, 1977, 201, cf. et. Herodor. FGrHist 31 F 52–53 et Jac. comm. ad loc. || 7 1 *φευγέμεν ἐκ* Mein. : *φευγέμεναι* Schol., quod defendit Matthews | de *θοή* cf. West ad Hes. Th. 481 || 2 *ποδοψοφίαν ἀκούσασαν* Schol. : unde Schaefer *ποδοψοφίην ἀίουσα* verba poetae epici esse censuit | *ποδοψοφίη* solum hic et ap. Aesop. 143 I Hausr.

8 (9 K.)

Schol. Apoll. Rhod. 4, 87 (267, 14 Wendel) *δώσω δὲ χρύσειον] ὁ μὲν Ἀπολλώνιος μετὰ τὸ φυγεῖν τὴν Μήδειαν ἐκ τοῦ Αἰήτου οἴκου πεποίηται ὑπισχνουμένην τὸ κῶας τῶι Ἰάσονι· ὁ δὲ τὰ Ναυπακτικὰ γράψας συνεκφέρουσαν αὐτὴν τὸ κῶας κατὰ τὴν φυγήν, κατὰ τὸν αὐτοῦ οἶκον κείμενον {τοῦ Αἰήτου}.*

9 (10 K.)

Paus. 2, 3, 9 *ἔπη δὲ ἔστιν ἐν Ἕλλησι Ναυπάκτια ὀνομαζόμενα· πεποίηται δὲ ἐν αὐτοῖς Ἰάσονα ἐξ Ἰωλκοῦ μετὰ τὸν Πελίου θάνατον ἐς Κόρκυραν μετοικῆσαι καί οἱ Μέρμερον μὲν τὸν πρεσβύτερον τῶν παίδων ὑπὸ λεαίνης διαφθαρῆναι θηρεύοντα ἐν τῆι πέραν ἠπείρωι· Φέρητι δὲ οὐδέν ἐστιν ἐς μνήμην προσκείμενον.*

10 (11 K.)

[Apollodor.] Bibl. 3, 10, 3 (adnotatio marginalis in textum inclusa) *εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ* (sc. *Ἀσκληπιοῦ*) . . . *Ἱππόλυτον, ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει.*

11 (12 K.)

(I) Philodem. De piet. (P. Hercul. 1609 V 5ss, p. 52 Gomperz, vid. et. Henrichs, Cr. Erc. 5, 1975, 8) *Ἀσκληπιὸ[ν δὲ Ζε]ὺς ἐκεραύνωσ[εν ὡς μ]ὲν ὁ τὰ Ναυπα[κτι]ϙκὰ συγγράψας* || (II) Philodem. De piet. (P. Hercul. 247 IV^{b} 5ss, p. 17 Gomperz, vid. et. Henrichs, Cr. Erc. 5, 1975, 8) *τὸν Ἀσκλ[ηπιὸν δ' ὑ]πὸ Διὸς κα̣[τακτα]θῆναι γέγρ[αφεν Ἡ]σίοδος* (fr. 51 M.-W.) *κα̣ὶ [Πείσαν]δρος* (fr. 17) *καὶ Φε̣[ρεκύδης] ὁ Ἀθηναῖος* (FGrHist 3 F 35) *[καὶ Πανύ]α̣σ̣σις* (fr. 26) *καὶ Ἄν̣[δρων]* (FGrHist 10 F 17) *καὶ Ἀκουσ[ίλαος* (FGrHist 2 F 18) *καὶ]* ** *Εὐριπίδ[ης ἐν οἷς] λέγει* [Alc. 3] *καὶ ὁ τ[ὰ Ναυ]πάκτια ποή̣[σας] καὶ Τελέστ[ης ἐν Ἀσ]κληπιῶι* (fr. 3 Page).

12 (13 K.)

Paus. 4, 2, 1 *πυθέσθαι δὲ σπουδῆι πάνυ ἐθελήσας, οἵτινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας* (fr. 251 b M.-W.) *καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων* (fr. 5) *καὶ Ἄσιος* (fr. 12) *ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφισιν οὐδὲν πεποιημένον.*

8 4 del. Wendel || 9 Naup. poeta nescit historiam de Medeae filiorum occisione (cf. Eur. Med., Apollodor. Bibl. 1, 9, 28 etc.). de re cf. Friedländer, Rh. Mus. 69, 1914, 315s; Kruse, Mermeros, RE XV 1 (1931) 1037; Pf., Callimachosstudien, München 1922, 72s adn. 3; Will, Korinthiaka 107 adn. 1; vid. et. Vian, Apoll. Rhod. I p. XXX adn. 2 || 10 de re cf. Pind. Pyth. 3, 54ss et Schol. ad loc., Sext. Empir. Math. 1, 261, Schol. Eur. Alc. 1, Eratosth. Catast. 6, Hygin. fab. 49 || 11 2 suppl. Nauck | *Ναυπα[κτι]κὰ* Nauck, Gomperz, Wil. || 4 *τὸν – ὑ]πὸ* suppl. Nauck – Gomperz | *κα̣[τακτα]θῆναι* Körte : *κα[θαιρε]θῆναι* Dietze : *κε̣[ραυνω]θῆναι* Gomperz || 5 *γέγρ[αφεν Ἡ]σίοδος* suppl. Nauck – Gomperz | *κα̣ὶ [Πείσαν]δρος* Schober : *κἀν̣[αξίμαν]δρος* Wil. : *καὶ [Πίν]δαρος* Nauck – Gomperz || 5–6 suppl. Nauck – Gomperz || 6 *δοσις* delin. || 7 suppl. Gomperz – Bücheler || 8 suppl. Nauck || de Aesculapii morte cf. et. Pind. Pyth. 3, 54ss, Diod. Sic. 4, 71, 1ss, Hygin. fab. 49, Apollodor 3, 10, 4 || 12 1 *σπουδῆι* Valck. : *που δὴ β* || 3 *τὰ νῦν πάκτια β*

ASIVS

TESTIMONIVM

Athen. 3, 125b–d

'οὐ γὰρ μέλει σοι' ἔφη ὁ Μύρτιλος 'ἱστορίας, ὦ γάστρων. κνισολοιχὸς γάρ τις εἶ ⟨καὶ⟩ (add. Casaub.) *κατὰ τὸν Σάμιον ποιητὴν Ἄσιον τὸν παλαιὸν ἐκεῖνον {καὶ}* (del. Casaub.) *κνισοκόλαξ . . .' πιόντος οὖν αὐτοῦ πάλιν ἐζήτει ὁ Οὐλπιανός· 'ποῦ κεῖται ὁ κνισολοιχὸς καὶ τίνα ἐστὶ τὰ τοῦ Ἀσίου ἔπη τὰ περὶ τοῦ κνισοκόλακος;' 'τὰ μὲν οὖν τοῦ Ἀσίου' ἔφη ὁ Μύρτιλος 'ἔπη ταῦτ' ἐστι·* (sequuntur disticha elegiaca, fr. 1 Gent.-Prato).

De patre et patria Asii cf. Paus. 7, 4, 1 (fr. 7) *Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος,* 2, 6, 3 (fr. 1) *Ἄσιος ὁ Ἀμφιπτολέμου*
Asii opera semper sine titulo laudantur (cf. *ἔπη* frr. 3–7); sine dubio unum carmen genealogicum est (vid. *ἐγενεαλόγησαν* fr. 12); distinguendum est etiam aliud carmen de Samiorum moribus (fr. 13)

ΑΣΙΟΣ

Samius saec. VI?

ΕΠΗ

1 (1 K.)

Ἀντιόπη δ' ἔτεκε Ζῆθον κἀμφίονα δῖον
Ἀσωποῦ κούρη ποταμοῦ βαθυδινήεντος,
Ζηνί τε κυσαμένη καὶ Ἐπωπέι ποιμένι λαῶν.

1 PAUS. 2, 6, 3 *Λαμέδων γὰρ ὁ Κορώνου βασιλεύσας μετὰ Ἐπωπέα ἐξέδωκεν Ἀντιόπην. ἡ δὲ ὡς ἐς Θήβας ἤγετο τὴν ἐπ' Ἐλευθερῶν, ἐνταῦθα καθ' ὁδὸν τίκτει. καὶ ἔπη ⟨ἐπὶ⟩ τούτωι πεποίηκεν Ἄσιος* (Gédoyn : *Ἄγις* β) *ὁ Ἀμφιπτολέμου·* [1–3]

1 1–3 λ 260–262 *Ἀντιόπην ἴδον, Ἀσωποῖο θύγατρα, / ἣ . . . / καί ῥ' ἔτεκεν δύο παῖδ', Ἀμφίονά τε Ζῆθόν τε* | Hes. Th. 125 *οὓς τέκε κυσαμένη* | Hymn. Hom. 1, 4 *κυσαμένην . . . τεκέειν Διί* (cf. Cyp. fr. 32) || 2 Φ 603 *ποταμὸν βαθυδινήεντα* (dat. Panyas. fr. 23, 3 cf. Φ 15) || 3 Hes. fr. 17 (a), 15 M.-W. *Ἄκτορι κυσαμ]ένη καὶ ἐρικτύπωι ἐννοσιγαί[ωι* | B 85 al. γ 156 al. Hes. Th. 1000 al. Il. exc. fr. 6, 2 *ποιμένι λαῶν*

1 1 *Ζῆθον κἀμφίονα* Dind., Bach coll. inscr. Sigei (SIG 2 B 4) saec. VI a. Ch. *κἀγώ, κἀπίστατον* : *Ζῆθον καὶ Ἀμφ.* ed. Ald. : vulgo *Ζῆθον κ' Ἀμφίονα* : *Ζῆθόν τ' Ἀμφίονά θ' υἱόν* Naeke | de re metrica vid. B 238, Z 260, N 734, γ 255, ζ 282, Hymn. Merc. 173, Hymn. Cer. 227, Hes. Th. 447 (et comm. West ad loc.), Michelangeli, Frammenti 108 || de Amphione cf. Eum. fr. 13, Min. fr. 3, Panyas. fr. 32 | Antiopa Homero (λ 260) Asopi filia, at Hesiodo (fr. 181 M.-W.) et Apollodoro (Bibl. 3, 5, 5) Nyctei (cf. Frazer adn. ad loc.), Asio (fr. 9) Nyctei filia Callisto | Antiopa cum Iove cubuit (λ 261, Apollodor. Bibl. 3, 5, 5), sed Epopeo nupsit ap. Apollodor. l. l.; Asio autem conceptus duplex est | Eumelo (fr. 3) Antiopa Solis coniunx et Epopei avia | Antiopae filii Amphio et Zethus sec. Homerum (λ 262) et Hesiodum (fr. 182 M.-W.), at Aeetes et Aloeus sec. Eum. fr. 3

2 (2 K.)

Δίον ἐνὶ μεγάροις τέκεν εὐειδὴς Μελανίππη.

3 (3 K.)

Paus. 9, 23, 6 *προελθόντι δὲ ἀπὸ τῆς πόλεως* (sc. *Θηβῶν*) *ἐν δεξιᾶι πέντε που καὶ δέκα σταδίους τοῦ Ἀπόλλωνός ἐστι τοῦ Πτώιου τὸ ἱερόν. εἶναι δὲ Ἀθάμαντος καὶ Θεμιστοῦς παῖδα τὸν Πτῶον, ἀφ' οὗ τῶι τε Ἀπόλλωνι ἐπίκλησις καὶ τῶι ὄρει τὸ ὄνομα ἐγένετο, Ἄσιος ἐν τοῖς ἔπεσιν εἴρηκε.*

4 (4 K.)

Paus. 5, 17, 8 *Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι.*

5 (5 K.)

Paus. 2, 29, 4 *Φώκωι δὲ Ἄσιος ὁ τὰ ἔπη ποιήσας γενέσθαι φησὶ Πανοπέα καὶ Κρῖσον· καὶ Πανοπέως μὲν ἐγένετο Ἐπειὸς ὁ τὸν ἵππον τὸν δούρειον, ὡς Ὅμηρος* (*θ* 493) *ἐποίησεν, ἐργασάμενος, Κρίσου δὲ ἦν ἀπόγονος τρίτος Πυλάδης, Στροφίου τε ὢν τοῦ Κρίσου καὶ Ἀναξιβίας ἀδελφῆς Ἀγαμέμνονος.*

6 (6 K.)

Paus. 3, 13, 8 *γεγόνασι δὲ οἱ Τυνδάρεω παῖδες τὰ πρὸς μητρὸς ἀπὸ τοῦ Πλευρῶνος· Θέστιον γὰρ τὸν Λήδας πατέρα Ἄσιός φησιν ἐν τοῖς ἔπεσιν Ἀγήνορος παῖδα εἶναι τοῦ Πλευρῶνος.*

2 Strab. 6, 1, 15 p. 265 *δοκεῖ δ' Ἀντίοχος* (FGrHist 555 F 12) *τὴν πόλιν Μεταπόντιον εἰρῆσθαι πρότερον Μέταβον, παρωνομάσθαι δ' ὕστερον· τήν τε Μελανίππην οὐ πρὸς τοῦτον, ἀλλὰ πρὸς Δῖον κομισθῆναι ἐλέγχειν ἡρῶιον τοῦ Μετάβου καὶ Ἄσιον τὸν ποιητὴν φήσαντα ὅτι τὸν Βοιωτὸν* [1], *ὡς πρὸς ἐκεῖνον ἀχθεῖσαν τὴν Μελανίππην, οὐ πρὸς Μέταβον*

2 Hes. fr. 190, 3 M.-W. *ἐν μεγάροι]ς κούρας τέκε* | *B* 137 al. *ζ* 62 al. *ἐνὶ μεγάροις* (cf. Stesichor.? P. Lille 213; 233 ap. Zeitschr. Pap. Epigr. 26, 1977, 15s) | Apoll. Rhod. 4, 538 *ὃν εὐειδὴς Μελίτη τέκεν* | Aeth. fr. 1, 2b *εὐειδὴς Πενθεσίλ⟨ε⟩ια*

2 Itonus Boeoti pater sec. Paus. 9, 1, 1 (cf. Steph. Byz. s. v. *Βοιωτία*), sed Boeoti filius ap. Diod. 4, 67, 7 | de Boeoto cf. et. Corinn. fr. 5 Page || **3** de Ptoo cf. Apollodor. Bibl. 1, 9, 2 *Ἀθάμας . . . γήμας Θεμιστὼ τὴν Ὑψέως ἐγέννησε Λεύκωνα Ἐρύθριον Σχοινέα Πτῶον* || **4** 1 *Αἴσιος β* : corr. Sylb. | Hesiodo (Sc. 3, fr. 193, 20 M.-W.) Alcumena Electryonis et Lysidicae filia || **5** ap. Hes. fr. 58 M.-W. Panopeus et Crisus etiam in matris Asterodiae utero inter se pugnabant; cf. et. Tzetz. in Lycophr. Alex. 930 (300, 24 Scheer); 939 (303, 18 Scheer) | Phocus Phocidis *ἐπώνυμος*, Panopeus et Crisus Panopei et Crisae, civitatum Phocidis (cf. *B* 520) || **6** 2 de Thestio cf. Eum. fr. 7 | *Ἄρειος β* : corr. Palmerius | de Agenore et Ledae genealogia cf. Hes. frr. 22–23 M.-W.

7 (7 K.)

PAUS. 7, 4, 1 Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπάλαια καὶ Εὐρώπη, Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίωι δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι Περίλαον καὶ Ἔνουδον καὶ Σάμον καὶ Ἀλιθέρσην καὶ θυγατέρα ἐπ' αὐτῶι Παρθενόπην, Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδην γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτο ἐν τοῖς ἔπεσιν ἐδήλωσε.

8 (8 K.)

ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι
γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη.

9 (9 K.)

APOLLODOR. Bibl. 3, 8, 2 Εὔμηλος (fr. 14) δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι· Ἡσίοδος (fr. 163 M.-W.) μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης (FGrHist 3 F 157) δὲ Κητέως.

10 (10 K.)

κοῦραί τ' Ἰκαρίοιο Μέδη καὶ Πηνελόπεια.

11 (11 K.)

PAUS. 2, 6, 5 Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν· ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος.

8 PAUS. 8, 1, 4 μεγέθει μέντοι καὶ κατὰ ἀλκὴν καὶ κάλλος προεῖχεν ὁ Πελασγὸς καὶ γνώμην ὑπὲρ τοὺς ἄλλους ἦν, καὶ τούτων ἕνεκα αἱρεθῆναί μοι δοκεῖ βασιλεύειν ὑπ' αὐτῶν. πεποίηται δὲ καὶ Ἀσίωι (Ἀσίων β) τοιάδε ἐς αὐτόν· [1–2] || 10 SCHOL. Hom. δ 797 (236, 23 Dind.) Ἄσιος δέ φησι· [1]

8 2 Β 699 al. λ 365 al. Hes. Th. 69 γαῖα μέλαινα || 10 α 329 al. κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια

7 Europa Phoenicis filia et. ap. Hes. fr. 140 M.-W. | Ancaeus Argonauta Neptuni Astypalaeaeque filius ap. Apoll. Rhod. 2, 865ss | de Alithersa cf. et. Paus. 10, 10, 3 || 8 1 montes hic laudati in Arcadia siti sunt, cf. Servium in Aen. 2, 83 (I 231, 23 Thilo–Hagen) '*Pelasgi.*' *a Pelasgo Terrae filio, qui in Arcadia genitus dicitur, ut Hesiodus* (fr. 160 M.-W.) *tradit* (cf. Apollodor. Bibl. 2, 1, 1; 3, 8s), vid. et. Hes. fr. 161 M.-W. | ὑψίκομος solum de arboribus ap. Homerum (Ξ 398, ι 186 al.) et Hesiodum (Op. 509 al.) dicitur || 2 ἀναδίδωμι primum ap. Hymn. Merc. 111 || 9 de Pelasgi genealogia Arcadica? cf. Hux., Greek epic 95, de re vid. et. Frazer, adn. ad Apollodor. l. l. || 10 Icarii filiae ap. Homer. Penelopa (α 329 al.) et Iphthima (δ 797) | Icarius Tyndarei frater, cf. Apollodor. Bibl. 3, 10, 3 (= Stesich. fr. 50 Page), vid. et. Tzetz. in Lycophr. Alex. 511 || 11 Hesiodo (fr. 224 M.-W.) Sicyonis pater Erechtheus, Ibyco (fr. 27 Page) Pelops

12 (12 K.)

Paus. 4, 2, 1 *πυθέσθαι δὲ σπουδῆι πάνυ ἐθελήσας, οἵτινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας* (fr. 251 b M.-W.) *καὶ τὰ ἔπη τὰ Ναυπάκτια* (fr. 12), *πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων* (fr. 5) *καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφισιν οὐδὲν πεποιημένον.*

CARMINIS DE SAMIORVM MORIBVS FRAGMENTVM

13 (13 K.)

οἳ δ' αὔτως φοίτεσκον ὅπως πλοκάμους κτενίσαιντο
εἰς Ἥρης τέμενος, πεπυκασμένοι εἵμασι καλοῖς,
χιονέοισι χιτῶσι πέδον χθονὸς εὐρέος εἶχον·
5 *χαῖται δ' ἠιωρεῦντ' ἀνέμωι χρυσέοις ἐνὶ δεσμοῖς,*
4 *χρύσειαι δὲ κορύμβαι ἐπ' αὐτῶν τέττιγες ὥς·*

13 Athen. 12, 525e *περὶ δὲ τῆς Σαμίων τρυφῆς Δοῦρις* (FGrHist 76 F 60) *ἱστορῶν παρατίθεται Ἀσίου ποιήματα, ὅτι ἐφόρουν χλιδῶνας περὶ τοῖς βραχίοσιν καὶ τὴν ἑορτὴν ἄγοντες τῶν Ἡραίων ἐβάδιζον κατεκτενισμένοι τὰς κόμας ἐπὶ τὸ μετάφρενον καὶ τοὺς ὤμους. τὸ δὲ νόμιμον τοῦτο μαρτυρεῖσθαι καὶ ὑπὸ παροιμίας τῆσδε 'βαδίζειν ⟨εἰς⟩* (suppl. Mein.) *Ἡραῖον ἐμπεπλεγμένον'. ἔστι δὲ τὰ τοῦ Ἀσίου ἔπη οὕτως ἔχοντα·* [1–6]

13 2 *ζ* 111 *εἵματα καλά* || 3 Hes. Th. 458 al. *εὐρεῖα χθών* (cf. Pind. fr. 33c, 3 Sn.-Maehl. *χθονὸς εὐρείας*) | Aesch. Prom. 1 *χθονὸς . . . πέδον*

12 1 *που δὴ β* : corr. Valck. || 3 *τὰ νῦν πάκτια β* || 13 de poematis genere alii alia cogitaverunt: carmen minus, comico colore sec. Naeke, Choeril. 76, prob. Bach 141 : pro hymno in Iunonem Samiam habuit Schmid-Stählin, Gesch. gr. Lit. I 1, 295; 'eine Schilderung der prunksüchtigen Samier seiner Zeit' Bethe, Asios 6, RE II 2 (1896) 1606 : recte contradixit Bowra, On Greek Margins 123, quod imperfecti usus ad opera huiusce modi non convenit; melius carmen historicum de Samiis vel quasi Xenophanis *σίλλος* : Sami historia mythica vel *κτίσις* sec. Veneri, Quad. Urb. 46, 1984, 91, vid. et. Michelangeli, Frammenti 36ss || 1 *αὔτως* Bach, Mein. : vulgo *αὕτως* | *οἱ δ' ὅτε – ὀπίσω – κτενίσαντες* Kaib. : *οἱ δ' αὖθ', ὡς – ἐπεὶ – κτενίσαιντο* vel *ὁμῶς – κτενίσαντες* Vasmanolis | de *ὅπως* temporali cum optativo vid. Herodt. 1, 17; 7, 119 al. | de *κτενίσαιντο* vid. Wack., Sprachl. Unters. 94 || 2 *Ἥρας* codd. : corr. Naeke | de Iunonis templo cf. Herodt. 1, 70; 2, 148; 182 etc. | *πεποικασμένοι* A : corr. Mus. | post vers. 2 lac. susp. Dind. || 3 *χιονέοις τε* Van Lennep | de vocabulo cf. Michelangeli, Frammenti 43s | *πέδον* Naeke, Hermann | *εὐρὺ ἔσαιρον* Jacobs e versione Latina Daléchamp | *ἄχρι* Hermann : *εἷλκον* Blumenthal : *ἶκον* Weston, prob. Schweigh. | de vestibus hic descriptis cf. *N* 685 *Ἰάονες ἑλκεχίτωνες*, Hymn. Apoll. 147 *ἑλκ. Ἰά.* et Bowra, On Greek Margins 124 || 4 post 5 transp. Naeke, prob. Bach, Dübner, Mein., Kink. : traditum def. Michelangeli, at cf. O'Sullivan, Greek Rom. Byz. Stud. 22, 1981, 329ss, qui optime transpositionem defendit || 5 *δ' ὠρευτανέμῳ* A : *δωρευτανέμω* cett. : corr. Casaub. : *δ' ἐρρώοντ' ἀνέμωι* Weston | de *χρυσέοις δεσμοῖς* cf. Bowra, On Greek Margins 127s || 4 *κόρυμβαι* Marcksch. : *κοσύμβαι* Wil. coll. Et. M. 311, 4 *ἐγκόμβωμα· ὁ δεσμὸς τῶν χειρίδων, ὃ λέγεται . . . κοσύμβη* | *κορύμβαι* fem. hapax, de

δαιδαλέας δὲ χλιδῶνας ἄρ' ἀμφὶ βραχίοσ' ἔσαντες
⟨—⏔—⏔—⟩τες ὑπασπίδιον πολεμιστήν.

MEROPIS

TESTIMONIVM

Apollodor. *π. θεῶν* ap. P. Col. inv. 5604, 17, saec. I a. Ch., prim. ed. Koenen et Merk., Collectanea Papyrologica I, Bonn 1976, 3ss, vid.

quo vocabulo multa disputaverunt viri docti: 'metallene Lotosblüten' Blumenthal (e Bremer), 'fermagli delle tuniche' Michelangeli, 'chignon' Chantraine, Dict. Etym., 'head pieces' Gulick, 'ornamental fastenings', 'dress-ornaments' Bowra, melius 'brooches' Hux. vel 'clasps' O'Sullivan | cf. Hesych. s. v. *κορυμβάσι· περιδρόμοις, δι' ὧν συστᾶται γύργαθος καὶ κεκρύφαλος καὶ δεσμοί*, Sud. s. v. *κόρυμβοι* (III 161, 9 Adler): *κλῶνες· ἢ ἄκροι. ἐν ἐπιγράμμασι* (Anth. Pal. V 257, 3–4) '*μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβους / ἢ μαστὸν νεαρῆς ὄρθιον ἡλικίης*'. *κόμην τρέφων χρυσῶι στρόφωι κεκορυμβωμένην* (cf. Nicol. Damasc. FGrHist 90 F 62), vid. et. Bieber, *κορύμβη*, RE XI 2 (1922) 1455ss | de re cf. et. Michelangeli, Frammenti 20ss, qui mea sententia errans *κορύμβας* vestes, non capillos, fixisse putavit | *ἐπ' αὐτέων* Naeke | de *τέττιγες* cf. Thuc. 1, 6, 3 *χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῆι κεφαλῆι τριχῶν* (et Gomme Comm. ad loc., I 101ss), Schol. Hermog. (IV 79 Walz) *ἔστι δ' ὁ τέττιξ δεσμός τις ἐπὶ τῆς κεφαλῆς ἔμπροσθεν ἐγκαθήμενος· οἱ δ' ἄλλοι ἐπὶ τοῦ τραχήλου, ὃν οἱ ἐπίσημοι ἐφόρουν κρωβύλον ἀναδούμενοι* | vid. et. Schuppe, Tettix 2, RE V A 1 (1934) 1111ss | de Samiorum capillorum ornatu cf. Xenoph. fr. 3 Gent.-Prato (praecipue 3, 5 *χαίτηισιν †ἀγαλλομεν εὐπρεπέεσσιν*); Bremer, Die Haartracht des Mannes in archaisch-griechischer Zeit, Diss. Gießen 1911, 51ss; Bowra, On Greek Margins 127; O'Sullivan, Greek Rom. Byz. Stud. 22, 1981, 332s

6 *δαιδαλέας δὲ χλιδῶνας* Ebert: *δαιδαλέοι* (*δαιδάλεοι* Dind. coll. Herodian. *π. καθολ. προσωιδ.* I 114, 21 Lentz) *δὲ χλιδῶνες* codd. | *χλίδωνες* proposuerunt Michelangeli, Frammenti 44s; Vasmanolis, *Πλάτων* 28, 1976, 79 adn. 1 coll. Herodian. *π. καθολ. προσωιδ.* I 24, 24 Lentz (cf. et. *π. κλίσ. ὀνομ.* II 729, 18 Lentz), at recte accentum traditum (sec. epicum, non Atticum usum) defendit Veneri, Quad. Urb. 46, 1984, 81s adn. 2 || de vocabulo vid. Aristoph. fr. 332, 11 Kassel–Austin et adn. ad loc., IG II^2 1388, 85, I^3 469, 30; 34; 35; Bowra, On Greek Margins 132; vid. et. Hesych. s. v. *χλίδωνες· οὕτως δὲ λέγεται κόσμος ὃν αἱ γυναῖκες περὶ τοῖς βραχίοσιν εἰώθασι φορεῖν καὶ τοὺς τραχήλους* || 6–7 *ἀμφὶ βραχίοσιν ησαντες* A: *ἀμφιβραχίοσι νήσαντες* cett.: corr. Ebert (qui e. g. suppl. ⟨*βαῖνον ἀπολείπον*⟩*τες*): *ἀμφὶ βραχίοσιν ἦσαν* ⟨. . .⟩*τες* Dind.: *ἦσαν* ⟨. . .⟩*ησαντες* Schweigh.: *ἀμφιβραχιονίσαντες* Naeke, qui *αρ* initium fortasse habendum vocis censuit, unde *ἀρηρότες ἀμφοτέρωθεν* Hermann: *ἀρ*⟨*ιπρεπέες ἐφάν*⟩*ησαν* Bach: recte reiecit Dübner || 7 ⟨*τὸν δεῖν' αἰσχύνον*⟩*τες* Jac.: contradixit Bowra, qui ⟨*ὡς ἴσαν εἰκάζον*⟩*τες* proposuit: ⟨*οὐ γὰρ ἀναμνησθέν*⟩*τες* Schmid: ⟨*ἀλλοῖον ποιεῦν*⟩*τες* Vasmanolis: ⟨*κοῦφα ποσὶν προβιβάν*⟩*τες* Gulick (coll. *N* 158 *κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων*): ⟨*Ἀγκαῖον μετιόν*⟩*τες* Veneri e. g. | Hom. solum adv. *ὑπασπίδια* cognoscit | de *ὑπασπίδιον πολεμιστήν* cf. Veneri, Quad. Urb. 46, 1984, 81ss (quae cf. Polyaen. 1, 23, 2)

et. Führer, Zeitschr. Pap. Epigr. 24, 1977, 42, Mette, Lustrum 21, 1978, 21s, P. Köln III 126 (ed. Kramer), Lloyd-Jones, Parsons, Supplementum Hellenisticum n. 903 A p. 405ss

περιεπέσομεν δὲ ποιήμασιν, ἐφ' ὧν ἦν ἐπιγραφὴ Μεροπίς, οὐ δηλοῦσα τὸν ποήσ⟨α⟩[ντα] (Henrichs, mon. edd. prr. : *ποησο[Π*), *ἢ πρὸς τοῖς ἄλλοις Μέροψι [τ]οῖς ἐν τῆι Κώιαι καταριθμουμένοις καὶ Ἄστερον ὑπάρχειν διεσάφει· τοῦτον δ' εἶναι μάχιμόν τινα καὶ δυνατόν, ἔτι δὲ ἄτρωτον. ἐπὶ τοῦ* (*τού⟨του⟩* Kassel, Murgia, West : *τοῦ⟨τον⟩* Renehan) *οὖν Ἡρακλῆν εἰς τὴν Κώιαν παραγενέσθαι καὶ πόλεμ[ον] τοῖς [Κώι]οις συστήσασθαι, θλιβο[μέ]νων δὲ αὐτῶν* (*θλιβο[μέ]νωι δὲ αὐτῶι* Renehan) *ὑπὸ τοῦ Ἀσ[τέ]ρου τὴν Ἀθηνᾶν ἐπιβοη[θῆ]σαι εἰδυῖαν ὅτι ὑπὸ μὲν Ἡρα[κλέ]ους οὐθὲν ἂν πάθοι, μᾶλ[λο]ν δ' ἂν ὑπ' αὐτοῦ Ἡρακλῆς ἀ[ναι]ρεθείη{ι}. τέλος δὲ ἀπολομένου τούτου ὑπ' αὐτῆς συνθεωρῆσαι χρήσιμον αὐτοῦ τὸ{υ} δέρος ἐσόμενον πρὸς τοὺς [ἄλ]λους κινδύνους· διόπερ ἐ[ξη]λύτρωσεν* (edd. prr. : *ἐ[ξε]λυτρω⟨θ⟩ὲν* Henrichs, Renehan : *ἐ[ξε]λυτρῶσαι* West) *αὐτὸ σύν τε τοῖς [πο]σὶν καὶ ταῖ⟨ς⟩ χερσὶ περιθέσ[θα]ι. ἐδόκει δέ μοι τὰ ποήμα[τα] νεωτέρου τινὸς εἶναι· διὰ [δὲ] τὸ ἰδίωμα τῆς ἱστορίας [ἐξε]λάβομεν αὐτό.*

carmen Philodemus laudat; vid. Test. ad fr. 6

Meropas in insula Coo habitantes laudant Hymn. Apoll. 42, Pind. Nem. 4, 26, Is. 6, 31, fr. 33a Sn.-Maehl., Schol. Pind. Nem. 4, 40 (III 70, 5 Drachm.), Quint. 8, 6, 71, Hesych. s. v. *μέροπες*, Eust. in Il. p. 983, 34; Cos Meropis vocata est ap. Thuc. 8, 41, Call. Del. 160, Strabo 15, 1, 3 p. 686, Paus. 6, 14, 12, Steph. Byz. s. v. *Μέροψ* (446, 11 Mein.); *Μέροπος νᾶσος* in epigr. Olympiae saec. IV a. Ch. (cf. Ebert, Griech. Epigramme auf Sieger ..., Abh. Sächs. Akad. Leipzig, phil.-hist. Klasse, Bd. 63 Heft 2, Berlin 1972, Nr. 49, 4); cf. Paton-Hicks, The Inscriptions of Cos, Oxford 1891, XIXs; Modrze, Merope oder Meropis, RE XV 1 (1931) 1055s; Allen, Halliday, Sikes, The Homeric Hymns, Oxford [2]1936 (1980), 208s; Koller, Glotta 46, 1968, 18ss.

Historia ap. Hom. *Ξ* 254ss, Hes. fr. 43a, 60ss M.-W., Schol. Hom. *Α* 590, *Ξ* 255 (= Pherecyd. FGrHist 3 F 78), Eust. in Il. p. 983, 35ss, Apollodor. Bibl. 2, 7, 1ss, Plut. Quaest. Gr. 58 p. 304c, Tzetz. Chil. 2, 446ss, Ov. Met. 7, 363s.

De carminis aetate inter se dissentiunt viri docti: saec. sexto assignaverunt edd. prr., prob. Henrichs, Kramer: tertio dub. Sherwin-White, Ancient Cos, Göttingen 1978, 48 adn. 96, cui adstipulantur Lloyd-Jones, Parsons (tertio vel quarto tribuentes), at ex hoc quod carmen anonymum est, historias regionales celebrans, veri similius mihi videtur Meropidis aetatem saec. VI esse, sicut poemata eiusdem modi, Phoronidem Phocaidem Naupactia etc., et nihil in eo contradicit ei adsertioni; vid. nuper Lloyd-Jones, Atti del XVII Congresso Internazionale di Papirologia I, Napoli 1984, 141ss, qui denuo hoc carmen in saec. VI collocat.

ΜΕΡΟΠΙΣ

auctor anonymus saec. VI?

1

ἔνθ' ὃ μὲν ἄλ[λ'] ἧκεν Μερόπων κατὰ νη[λέα] φῦλα
νευρῆι ἔπι ψάλλων

2

ἀλλ' οὐκ Ἄστερον ἰὸς ἐδάμνατο· τρὶς γὰρ ἐπ' [αὐτῶι]
ἧκε διὰ νευρῆς· τ̣[ῶι δ' οὐ] χρόα τῆνος ἵκανεν·
ἠ̣[ύτε δ' ἐκ σ]κληρῆς πέτρης ἔξαλτ[ο χαμᾶ]ζε
δριμὺ βέλος. πικρ[ὸν δ' ἄ]χος ἔσχεθεν Ἡ̣ρ̣ακλ[ῆα]
[ὡς] ἴδε̣ν̣.

3

κ̣[αί νύ] κεν Ἡρακλῆα κατέκτ[ανεν,] εἰ μὴ Ἀθήνη
λάβρον [ἐπεβρόν]τησε διὲκ νεφέων κα[ταβᾶ]σα·

1 Apollodor., pergit Test., 44 *εἶχεν δὲ [τὰ ἔ]πη οὕτω·* [1–2] || **2** ib. 48 *[εἶτε]ν̣·* [1–5] || **3** ib. 55 *μετὰ δὲ ὀλίγα·* [1–5]

1 1 Merop. 4, 1 *ἔνθ' ὁ μέν* || 2 Eur. Bacch. 784 *ψάλλουσι νευράς* || **2** 1 *Ζ* 435 *γ* 245 al. Hes. Th. 364 al. *τρὶς γάρ* || 2 *Λ* 352 *οὐδ' ἵκετο χρόα καλόν* | *Ψ* 819 *οὐδὲ χρό' ἵκανεν* || 3 *ρ* 463–464 *ὁ δ' ἐστάθη ἠύτε πέτρη / ἔμπεδον, οὐδ' ἄρα μιν σφῆλεν βέλος* | *Ν* 137 *ὡς ἀπὸ πέτρης* | *Γ* 29 *ἐξ ὀχέων . . . ἆλτο χαμᾶζε* | *Δ* 125 *ἆλτο δ' ὀιστός* || 4 *Λ* 269–270 *βέλος . . . / δριμύ* | Hes. Sc. 457 *δριμὺ δ' Ἄρη' ἄχος εἷλεν* | Hymn. Ven. 199 *ἔσχεν ἄχος* || 5 *Ν* 495 *θ* 286 al. Hes. Th. 555 *ὡς ἴδε(ν)* || **3** 1 *Ε* 311–312 *καί νύ κεν ἔνθ' ἀπόλοιτο . . . / εἰ μὴ ἄρ' ὀξὺ νόησε* | Hes. fr. 54 (a), 11–12 M.-W. *ἔνθά κε̣ν Ἀ̣[πόλλωνα κατέκτανε . . .] / εἰ μὴ ἄρ̣'* || 1–2 *ο* 292–293 *Ἀθήνη, / λάβρον ἐπαιγίζοντα δι' αἰθέρος* || 2 *Ο* 625 *λάβρον ὑπαὶ νεφέων*

1 1 *ἄλ[λ']* (sc. *φῦλα* vel *βέλεα*) edd. prr. : sed 'spatio brevius nisi *αλ[λα]η̣κεν* plene scribas' Lloyd-Jones, Parsons | *νη[λέα]* Lloyd-Jones, Parsons in ap. crit. : *νή[ριτα]* edd. prr. || 2 *ἔπι ψάλλων* Merk. : *ἐπιψάλλων* Koenen | de re cf. Pind. Isth. 6, 31–35 *πέφνεν . . . Μερόπων ἔθνεα . . . σφετέρας δ' οὐ φείσατο χερσὶν βαρυφθόγγοιο νευρᾶς* || **2** 1 Asterus non alicubi laudatus, sed cf. Aristot. fr. 637 Rose *τὰ Παναθήναια ἐπὶ Ἀστέρι τῶι γίγαντι ὑπὸ Ἀθηνᾶς ἀναιρεθέντι* | suppl. edd. prr. | *αὐτῶι* sc. *Ἀστέρωι* || 2 *διὰ ννευρῆς* ***Π*** (de quo cf. S. West, The Ptolemaic Papyri of Homer, 1967, 113 adn. 97) | *τ̣[ῶι δ' οὐ]* Lloyd-Jones, Parsons : *ἀ̣[λλ' οὐ]* edd. prr. | *τῆνος* verbum Doricum (Coum? Lloyd-Jones, Parsons) || 3 *ἠ̣[ύτ'* Hübner : *ἠ̣[ύτε δ' ἐκ* Lloyd-Jones, Parsons, coniunctionem desiderantes : *ἠ̣[ύτ' ἀπὸ σ]κληρῆς* edd. prr. | vel *ἀποσ]κλήρης πέτρης ἔξ ἆλτ[ο* Merk. || 4 suppl. edd. prr. | *ηρακλε[* ***Π*** i. e. *Ἡρακλε[ῖα*, cf. 3, 1; 3, 4; de orthographia vid. S. West, The Ptolemaic Papyri of Homer, 1967, 116s || 5 Burkert, Henrichs | Henrichs, Zeitschr. Pap. Epigr. 27, 1977, 74 cf. Theocr. 25, 230ss || **3** 1 suppl. edd. prr. | *Ἡρακλεῖα* ***Π*** || 2 *[ἐπεβρόν]τ̣ησε* Burkert : *[. . ἐβρόν]τησε* Koenen : *[ἀνεβρόν]τησε* Kannicht (de re cf. *Λ* 45) | *διὲκ* scripsi : *διεγ* ***Π*** | *κα[ταβᾶ]σα* edd. prr.

πληξαμένη θέν[αρι] δ' ἁπαλὸν χρόα πρόσθ[ε φαάν]θη
Ἡρακλῆος ἄνακτ[ος· ὃ δ' εἴ]σιδεν ἄσθματι θυίω̣[ν
[γνῶ τε] θεόν.

4

ἔνθ' ὃ μὲν ε[ἰς πλη]θὺν Μερόπων κίεν· ἡ [δὲ δια]πρὸ
αἰχμῆι στῆθος [ἔλασσεν·] ὃ δ̣' ἐ̣ξέχυτ'· οὐ γὰρ [ὁμοῖαι]
[ἀ]θάναται θνηταῖσι βολ[αὶ κατὰ] γαῖαν ἔασιν·
πρηνη[–⏑⏑]τησε· μέλας δ' ἐπερ⟨ε⟩ί{ε}δ̣[ετο εὐ]ρὼς
ὀφθαλμοῖς· Ἄιδόσ[δε δ' ἀπή]λυθε θυμὸς ἀναιδής.

5

καὶ τοῦ [μὲν βού]λευσε π̣ε̣ρ̣ὶ̣ χρόα ῥ̣ι̣ν̣ὸ̣ν̣ [Ἀθήνη]
ἕσσασθαι

4 ib. 63 *εἶτεν μετά τιν[α ἡ Ἀθηνᾶ] κελ̣εύει τὸν μὲν Ἡρα[κλῆν πε]ρὶ τοὺς ἄλλους γίνεσ[θαι Μέρο]πας, αὐτὴ{ι} δὲ τῶι Ἀστ̣[έρωι ἀν]θίσταται* (omnia suppl. edd. prr.)· [1–5] || 5 ib. 75 *[εἶτεν αὐ]τὸν ἐγδείρει* (suppl. edd. prr.)· [1–2]

3 Hes. Th. 109 *οἴδματι θυίων* || 4 1 *H* 307 *ὁ δ' ἐς Τρώων ὅμαδον κίε* | *E* 66 *ἡ δὲ διαπρό* || 1–2 *Λ* 360 *ἐξέλασ' ἐς πληθύν* | *N* 388 *χ* 295 *διαπρὸ δὲ χαλκὸν ἔλασσεν* | *E* 41 al. *χ* 93 *διὰ δὲ στήθεσφιν ἔλασσε* || 5 *κ* 560 al. *ψυχὴ δ' Ἄιδόσδε κατῆλθεν* | *H* 330 *ψυχαὶ δ' Ἄιδόσδε κατῆλθον* | *H* 131 *θυμὸν . . . δῦναι δόμον Ἄιδος εἴσω* (cf. Hes. Sc. 254) || 5 1–2 *H* 207 *περὶ χροῒ ἕσσατο τεύχεα*

1 1 ε 390 al. *ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ* (cf. Λ 707 Hes. Op. 488 *τρίτωι ἤματι*) ‖ 2 Hes. Th. 791 *εἰς ἅλα πίπτει* | *I* 682 al. δ 407 al. *ἅμ' ἠοῖ φαινομένηφι(ν)*

1 1 *ὀγδοήκοντα* Schol.: corr. Dind. | *πέληισι* Schw. | alio versui deperdito infuisse verba, e quibus pendebat genet. *σκορπίου*, putavit Boll, Sphaera, Leipzig 1903, 192 adn. 1, cui Fotheringham, Journ. Hell. Stud. 39, 1919, 169ss adstipulatus est: ⟨*οὐρανῶι Ἀρτοφύλαξ*⟩ Boll ap. Breithaupt De Parmenisco, Leipzig–Berlin 1915, 34: unde inter 1 et 2 ⟨*Ἀρτοφύλαξ φαίνων, τότε δὴ σημήϊα πρῶτα*⟩ coni. Die. ‖ 2 *σκορπίος* Rob.: *σκορπίου* Schol. | de *πρῶτα σημεῖα* cf. Fotheringham (= η et γ Scorpii sec. Fotheringham, Journ. Hell. Stud. 40, 1920, 209); libra significatur sec. Boll, Abh. Königl. Bay. Ak. Wiss., Philos.-Philol. und Hist. Klasse XXX 1918, 70s: contradixit Fotheringham, Journ. Hell. Stud. 40, 1920, 208s, cf. et. Webb, Journ. Hell. Stud. 41, 1921, 70ss | *πίπτει* subiectum *Βοώτης* | cf. et. Bethe, Rhein. Mus. 55, 1900, 414ss (praecipue 421) ‖ 2 errat Plinius sec. Boll, Sphaera 191ss; cf. quae interpretatur Fotheringham, Journ. Hell. Stud. 39, 1919, 169ss, qui *prima* (sc. signa) idem atque *πρῶτα σημεῖα* significare putat et Zodiacum a Babylonia in Graeciam traditum a Cleostrato credit: contradixit Webb, Journ. Hell. Stud. 41, 1921, 70ss; cf. denuo Fotheringham, Journ. Hell. Stud. 45, 1925, 78ss, qui tamen nihil coarguit, vid. et. Böker, Prosopon, RE XXIII 1 (1957) 876; Burkert, Weisheit und Wissenschaft, Nürnberg 1962, 312 et adn. 56; Dicks, Journ. Hell. Stud. 86, 1966, 27 adn. 8; Early Greek Astronomy, Bristol 1970, 87, qui recte Plinii testimonium erratum habet

3 (6 B 3 D.-K.)

Hygin. Astr. 2, 13 hos autem haedos Cleostratus Tenedius dicitur primus inter sidera ostendisse.

4 (6 B 4 D.-K.)

Censorin. De die natali 18, 5 hanc octaeterida vulgo creditum est ab Eudoxo Cnidio institutam, sed alii Cleostratum Tenedium primum ferunt composuisse et postea alios aliter, qui mensibus varie intercalandis suas octaeteridas protulerunt, ut fecit Harpalus, Nauteles, Menestratus, item alii.

CREOPHYLVS

TESTIMONIA

1 Suda s. v. Ὅμηρος (III 526, 4 Adler)

ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἄλλα τινὰ ποιήματα . . . Οἰχαλίας (Pearson : *Σικελίας* cod.) *ἅλωσις.*

2 Certamen Hom. Hes. 18 (44, 27 Wil.)

τῆς δὲ πανηγύρεως λυθείσης ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ χρόνον διέτριβε πρεσβύτης ὢν ἤδη.

cf. Friedländer, Rh. Mus. 69, 1914, 336 adn. 2

3 Plat. Resp. 10 p. 600b

ὁ γὰρ Κρεώφυλος, ὦ Σώκρατες, ἴσως, ὁ τοῦ Ὁμήρου ἑταῖρος, τοῦ ὀνόματος ἂν γελοιότερος ἔτι πρὸς παιδείαν φανείη, εἰ τὰ λεγόμενα περὶ Ὁμήρου ἀληθῆ. λέγεται γὰρ ὡς πολλή τις ἀμέλεια περὶ αὐτὸν ἦν ἐπ' (Adam : *ὑπ'* codd.) *αὐτοῦ ἐκείνου, ὅτε ἔζη.*

3 de re cf. Le Boeuffle, Les noms latins d'astres et de constellations, Paris 1977, 109 || 4 2 alii *Jahn* : an *codd.* || 4 de Harpalo cf. Laterc. Alex. 8, 8 (Abh. d. Berl. Ak. 1904, 8), Avien. Arat. 1366; Rehm, Harpalos 5, RE VII 2 (1912) 240 | octaeteris a Babyloniis etiam tradita sec. Fotheringham, Journ. Hell. Stud. 39, 1919, 176ss; contradixerunt Webb, Journ. Hell. Stud. 41, 1921, 84ss; Dicks, Early Greek Astronomy 87 (vid. et. 188s); cf. et. Bouché-Leclercq, L'Astrologie grecque, Paris 1899, 61s

4 Schol. Plat. Resp. 10 p. 600b (273 Greene)

Κρεώφυλος Χῖος, ἐποποιός, τινὲς δὲ αὐτὸν ἱστόρησαν γαμβρὸν Ὁμήρου ἐπὶ θυγατρί, καὶ ὅτι ὑποδεξάμενος Ὅμηρον ἔλαβεν παρ' αὐτοῦ τὸ ποίημα τῆς Ἰλιάδος (l. *Οἰχαλίας ἁλώσεως* Greene).

5 Phot. Lex. s. v. *Κρεώφυλος* (*Κρεό-* cod., I 351, 3 Naber)

πολιτείας ι' (600b) . . . *τοῦτόν τινες καὶ διδάσκαλον Ὁμήρου λέγουσι γεγονέναι· καὶ ἔστιν αὐτοῦ ποίημα Οἰχαλίας ἅλωσις· ἀρχαῖος μὲν οὖν ἐστί, νεώτερος δὲ ἱκανῶς Ὁμήρου.*

6 Suda s. v. *Κρεώφυλος* (III 185, 14 Adler)

Ἀστυκλέους, Χῖος ἢ Σάμιος, ἐποποιός. τινὲς δὲ αὐτὸν ἱστόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί. οἱ δὲ φίλον μόνον γεγονέναι αὐτὸν Ὁμήρου λέγουσι καὶ ὑποδεξάμενον Ὅμηρον λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

Testt. 4, 5 et 6 ex Hesychio Milesio sec. Cohn, Jahrb. f. cl. Phil. Suppl. 13, 1883, 798 adn. 2; similia de Stasino et Cypriis traduntur, vid. Cypr. Test. 2

7 Callim. Epigr. 6 Pf. = 55 Gow-Page

τοῦ Σαμίου (*Κρεωφύλου* Sext. Schol. Dionys.) *πόνος εἰμὶ δόμωι ποτὲ θεῖον ἀοιδὸν* (*Ὅμηρον* Strab.)
δεξαμένου, κλείω (*καίω* Strab.) *δ' Εὔρυτον ὅσσ' ἔπαθεν*
καὶ ξανθὴν Ἰόλειαν, Ὁμήρειον δὲ καλεῦμαι
γράμμα· Κρεωφύλωι, Ζεῦ φίλε, τοῦτο μέγα.

de hoc epigr. vid. Barigazzi, Riv. Fil. Class. 101, 1973, 186ss; Burkert, Mus. Helv. 29, 1972, 76s

8 Strab. 14, 1, 18 p. 638

Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὅν φασι δεξάμενον ξενίαι ποτὲ Ὅμηρον, λαβεῖν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγράμματός τινος, ὡς ἐκείνου μὲν ποιήσαντος, λεγομένου δ' Ὁμήρου διὰ τὴν λεγομένην ξενίαν· [laud. Call. epigr. 6]. *τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν, οἱ δ' οὐ τοῦτον, ἀλλ' Ἀριστέαν τὸν Προκοννήσιον* (vid. Arist. Test. 22).

9 Procl. Vit. Hom. 30 Seve.

λέγουσιν οὖν αὐτὸν (sc. *Ὅμηρον*) *εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεωφύλωι* (Allatius : *Κρεο-* **AGHIl** : *Κρεοφίλου* **E** : *Κλεοφύλου* **cK** :

Κλεωφύ- B), *γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτωι χαρίσασθαι, ἥτις νῦν ὡς Κρεωφύλου* (*Κρεο-* Ag : *Κρεοφί-* E : *Κλεοφύ-* c) *περιφέρεται.*

vid. Friedländer, Rh. Mus. 69, 1914, 336 adn. 2; laudatur etiam iter Homeri in Samios ap. Vitam Hom. Herodoteam 29 (16, 13 Wil.), vid. Burkert, Mus. Helv. 29, 1972, 76 adn. 10

10 Eust. in Il. p. 330, 43

τῆς Θεσσαλικῆς (sc. *Οἰχαλίας*) *δὲ νῦν Ὅμηρος μέμνηται. εἴρηται δὲ καὶ περὶ Εὐρύτου ἐκεῖ καὶ τῆς αὐτοῦ θυγατρός, Ἰόλης, δι' ἣν ἐπόρθησεν Ἡρακλῆς τὴν Οἰχαλίαν, εἰς ἣν δοκεῖ γράψαι καὶ Ὅμηρος, ὡς δηλοῖ ὁ ἱστορήσας* (Strab. 14, 1, 18 p. 638), *ὅτι Κρεώφυλος ὁ Σάμιος ξενίαι ποτὲ δεξάμενος τὸν Ὅμηρον ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν, τουτέστιν ἔσχεν εἰς ἀντίδοσιν ἐξ Ὁμήρου τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτῶι, ἀλλὰ τῶι φίλωι Κρεωφύλωι, οἷον ὅτι Κρεωφύλου Σαμίου Οἰχαλίας ἅλωσις. τινὲς δὲ ἀνάπαλίν φασι Κρεώφυλον μὲν γράψαι, Ὁμήρωι δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. διὸ καὶ Καλλίμαχος ὑποδηλῶν, ὅτι ὁ Κρεώφυλος Ὁμήρωι ἐπονομάσας τὸ ποίημα οὐ τὸν Ὅμηρον, ἀλλ' ἑαυτὸν ἐσέμνυνεν, ὡς δῆθεν ὁμηρίζοντα, γράφει ἐν ἐπιγράμματι οὕτω·* [laud. epigr. 6 Pf., vid. Test. 7]. *τινὲς δὲ διδάσκαλον Ὁμήρου τὸν Κρεώφυλον εἶπον· ἕτεροι δὲ Ἀρισταῖον τὸν Προκοννήσιον* (vid. Arist. Test. 24).

11 Tzetz. Chil. 13, 652

> *εἰς δ' Ἀρκαδίαν ξενισθεὶς* (sc. *ὁ Ὅμηρος*) *παρὰ τοῦ Κρεωφύλου,*
> *περιπατήσων ἔρχεται περὶ τὴν παραλίαν κτλ.*

12 Schol. Tzetz. Ex. Il. 37, 25 (154, 11 Hermann)

λυπηθεὶς (sc. *ὁ Ὅμηρος*) *διὰ τὸ μὴ ἐπιλύειν τὸ ἐρώτημα, ὑπέστρεψε πρὸς τὴν Κρεωφύλου* (*Κρεο-* cod.) *κτλ.*

13 Clem. Alex. Strom. 6, 2, 25, 2

αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν, καθάπερ . . . Πανύασίς τε ὁ Ἁλικαρνασσεὺς παρὰ Κρεωφύλου (*Κλεοφύλου* cod.) *τοῦ Σαμίου τὴν Οἰχαλίας ἅλωσιν.* cf. Panyas. Test. 7

quae praec. vid. ad Teleg. Test. 3 et Pis. Test. 5

14 Aristot. fr. 611, 10 Rose = Heraclid. Lemb. 10 (16, 19 Dilts)

Λυκοῦργος ἐν Σάμωι ἐγένετο καὶ τὴν Ὁμήρου ποίησιν παρὰ τῶν ἀπογόνων Κρεωφύλου (*Κρεο-* codd.) *λαβὼν πρῶτος διεκόμισεν εἰς Πελοπόννησον.*

15 Plut. Lyc. 4, 5

ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἐντυχὼν (sc. *ὁ Λυκοῦργος*) *πρῶτον, ὡς ἔοικε παρὰ τοῖς ἐκγόνοις τοῖς Κρεωφύλου* (*Κρεο-* codd.) *διατηρουμένοις, . . . ἐγράψατο προθύμως καὶ συνήγαγεν ὡς δεῦρο κομιῶν.*

cf. Aelian. V. H. 13, 14

16 Porphyr. Vit. Pyth. 1

Νεάνθης (Menagius in Diog. Laert. 8, 72 : *Κλεάνθης* Porphyr.) *δ'* (sc. *φησὶ*) *ἐν τῶι πέμπτωι τῶν μυθικῶν* (*πέμπτωι τῶν Πυθαγορικῶν* Menagius : *περὶ τῶν Πυθαγορικῶν* dub. Jac. in ap. cr.; FGrHist 84 F 29) *. . . ἐπανελθόντα δ' εἰς τὴν Ἰωνίαν ἐντεῦθεν τὸν Πυθαγόραν πρῶτον μὲν Φερεκύδηι τῶι Συρίωι ὁμιλῆσαι, δεύτερον δ' Ἑρμοδάμαντι τῶι Κρεωφυλείωι* (*Κρεοφυλίωι* codd.) *ἐν Σάμωι ἤδη γηράσκοντι.*

17 Porphyr. Vit. Pyth. 15

νοσήσαντα δὲ τὸν Φερεκύδην ἐν Δήλωι θεραπεύσας ὁ Πυθαγόρας καὶ ἀποθανόντα θάψας εἰς Σάμον ἐπανῆλθε πόθωι τοῦ συγγενέσθαι Ἑρμοδάμαντι τῶι Κρεωφυλείωι (*Κρεο-* Nauck : *Κρεοφυλίωι* codd.).

18 Iamblich. Vit. Pyth. 2, 9

ἐπεὶ δὲ ἀνεκομίσθη εἰς τὴν Σάμον ἀπὸ τῆς Συρίας ὁ Μνήσαρχος μετὰ παμπόλλου κέρδους καὶ βαθείας περιουσίας, ἱερὸν ἐδείματο τῶι Ἀπόλλωνι, Πυθίου ἐπιγράψας, τόν τε παῖδα ποικίλοις παιδεύμασι καὶ ἀξιολογωτάτοις ἐνέτρεφε, νῦν μὲν Κρεωφύλωι (*Κρεο-* codd.), *νῦν δὲ Φερεκύδηι τῶι Συρίωι, νῦν δὲ σχεδὸν ἅπασι τοῖς τῶν ἱερῶν προϊσταμένοις παραβάλλων αὐτὸν καὶ ἐγχειρίζων, ὡς ἂν καὶ τὰ θεῖα κατὰ δύναμιν αὐτάρκως ἐκδιδαχθείη.*

19 Iamblich. Vit. Pyth. 2, 11

ὑποφυομένης δὲ ἄρτι τῆς Πολυκράτους τυραννίδος περὶ ὀκτωκαιδέκατον μάλιστα ἔτος γεγονὼς προορώμενός τε οἷ χωρήσει καὶ ὡς ἐμπόδιος ἔσται τῆι αὐτοῦ προθέσει καὶ τῆι ἀντὶ πάντων αὐτῶι σπουδαζομένηι φιλομαθείαι, νύκτωρ λαθὼν πάντας μετὰ τοῦ Ἑρμοδάμαντος μὲν τὸ ὄνομα, Κρεωφυλείου (*Κρεο-* Nauck : *Κρεοφύλου* codd.) *δὲ ἐπικαλουμένου, ὃς ἐλέγετο Κρεωφύλου* (*Κρεο-* codd.) *ἀπόγονος εἶναι, Ὁμήρου ξένου τοῦ ποιητοῦ,* ⟨*οὗ δὴ δοκεῖ*⟩ (suppl. Rohde) *γενέσθαι φίλος καὶ διδάσκαλος τῶν ἁπάντων, . . . παραγενόμενος πρὸς ἕκαστον αὐτῶν ἀνὰ μέρος οὕτως ὡμίλησεν, ὥστε πάντας αὐτὸν ἀγαπᾶν καὶ τὴν φύσιν αὐτοῦ θαυμάζειν καὶ ποιεῖσθαι τῶν λόγων κοινωνόν.*

20 Diog. Laert. 8, 2

ἧκεν εἰς Σάμον (sc. *ὁ Πυθαγόρας*) *καὶ ἤκουσεν Ἑρμοδάμαντος τοῦ ἀπογόνου Κρεωφύλου, ἤδη πρεσβυτέρου.*

21 Apul. Flor. 15, 16

(*de Pythagora*) fertur ... sectatus itemque Leodamantem (Hermodamantem *Colvius*) Creophyli discipulum, qui Creophylus memoratur poetae Homeri hospes et aemulator canendi fuisse.

Oechaliae halosis Creophylo tribuitur etiam ap. Anecd. Oxon. (fr. 1), titulus falsus *Ἡράκλεια* invenitur ap. Paus. (fr. 2)

ΚΡΕΩΦΥΛΟΣ

Samius — saec. VII

ΟΙΧΑΛΙΑΣ ΑΛΩΣΙΣ

1 (1 K., A.)

ὦ γύναι, ⟨αὐτὴ⟩ ταῦτά γ' ἐν ὀφθαλμοῖσιν ὅρηαι

2 (2 K., A.)

(I) Paus. 4, 2, 3 *Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς — ἥκει γὰρ δὴ ἐς ἀμφισβήτησιν τῶν ἐν τῆι Ἑλλάδι ⟨τὰ⟩ πλείω — λέγουσιν οἱ μὲν ὡς τὸ Εὐρύτιον — χωρίον δὲ ἔρημον*

1 Anecd. Oxon. I 327, 11 Cramer *τοῦτο* (sc. formam *ὅρηαι*) *δὲ εὑρήσομεν καὶ ἐν τῆι ⟨Οἰ⟩χαλίας* (add. Cramer) *ἁλώσει, ἣ* (*αἱ* cod.: corr. Kink.) *εἰς Ὅμηρον ἀναφέρεται, ἔστι δὲ Κρεώφυλος ὁ ποιήσας. Ἡρακλῆς δ' ἐστὶν ὁ λέγων πρὸς Ἰόλην·* [1]

1 *Γ* 204 al. *ρ* 152 al. *ὦ γύναι* | *ξ* 343 *τὰ καὶ αὐτὸς ἐν ὀφθαλμοῖσιν ὅρηαι* (cf. *Γ* 306 al. Hes. fr. 204, 101 M.-W.)

1 *αὐτὴ* add. Köch.: *ἦ μὲν* Burkert | *γ'* Ruijgh, Autour de '*τε* épique', Amsterdam 1971, 916 adn. 6: *τε* cod.: *τ'* Köch. || **2** 2 suppl. **R**[sv]**Vb** || cf. Schol. Hom. *B* 596 (I 311 Erbse) *Θεσσαλίας ἡ Οἰχαλία καθ' Ὅμηρον. οἱ δὲ νεώτεροι ἐπ' Εὐβοίας πεποιήκασιν* (vid. simil. ap. Schol. Hom. *ϑ* 224 [374, 21 Dind.], *B* 730 [I 330 Erbse], Eust. in Il. p. 298, 32), Schol. Apoll. Rhod. 1, 87 (14, 14 Wendel) *Οἰχαλίας δὲ τῆς ἐν Εὐβοίαι. οἱ γὰρ νεώτεροί φασιν ἐν Εὐβοίαι εἶναι, Ὅμηρος δὲ ἐν τῶι Πελασγικῶι Ἄργει καταλέγει τὴν Οἰχαλίαν* [laud. *B* 730], Steph. Byz. s. v. *Οἰχαλία* (487, 18 Mein.) *πόλις, ἣν Ὅμηρος ἐν τῶι Πελασγικῶι Ἄργει τάσσει λέγων* [laud. *B* 730]. *οἱ δὲ νεώτεροι τεθείκασιν αὐτὴν ἐν Εὐβοίαι*, Strab. 8, 3, 25 p. 350 *αὐτοῦ δέ που καὶ ἡ Οἰχαλία ἐστὶν ἡ τοῦ Εὐρύτου, ἡ νῦν Ἀνδανία, πολίχνιον Ἀρκαδικόν, ὁμώνυμον τῶι Θετταλικῶι καὶ τῶι Εὐβοϊκῶι*, cf. et. 10, 1, 10 p. 448, Apollodor. et Demetr. Sceps. ap. Strab. 8, 3, 6 p. 339 unde Eust. in Il. p. 298, 17 | Oechalia Euboeae civitas ap. Soph. Trach. 74; 237 (cf. Diod. 4, 37, 5), Hecat. FGrHist 1 F 28, IG XII (9) 241, 78; 245, 53, Pherecyd. FGrHist 3 F 82 (vid. Jac. comm. ad loc.) | cf. Seve., Cycle 188ss; Geyer, Bölte, Lenk, Oichalia, RE XVII 2 (1937) 2096ss

ἐφ' ἡμῶν ἐστι τὸ Εὐρύτιον – πόλις τὸ ἀρχαῖον ἦν καὶ ἐκαλεῖτο Οἰχαλία, τῶι δὲ Εὐβοέων λόγωι Κρεώφυλος ἐν Ἡρακλείαι πεποίηκεν ὁμολογοῦντα || (II) Strab. 9, 5, 17 p. 438 τὴν δ' Οἰχαλίαν πόλιν Εὐρύτου λεγομένην ἔν τε τοῖς τόποις τούτοις (sc. περὶ Τρίκκην) ἱστοροῦσι καὶ ἐν Εὐβοίαι καὶ ἐν Ἀρκαδίαι, καὶ μετονομάζουσιν ἄλλως, ὃ καὶ ἐν τοῖς Πελοποννησιακοῖς (9, 5, 16) εἴρηται. περὶ δὲ τούτων ζητοῦσι, καὶ μάλιστα, τίς ἦν ἡ ὑπὸ Ἡρακλέους ἁλοῦσα, καὶ περὶ τίνος συνέγραψεν ὁ ποιήσας τὴν Οἰχαλίας ἅλωσιν.

3 (3 K., A.)

Schol. Soph. Trach. 266 (296, 2 Papageorgios) Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν ἐξ Εὐρύτου καὶ Ἀντιόπης παῖδας, οὕτως· [laud. fr. 26, 27–31 et 31a M.-W., vid. infra fr. °4], Κρεώφυλος δὲ δύο.

FRAGMENTA DVBIA

°4

Ἀντιόπη κρείουσα παλαιοῦ Ναυβολίδαο.

°5

(I) Eust. in Od. p. 1593, 29 τὸ μέντοι ὑφ' Ἡρακλέος θανεῖν τὸν Εὔρυτον κατὰ τοὺς ὕστερον καὶ τὰ περὶ τῆς θυγατρὸς τοῦ Εὐρύτου Ἰόλης οὐκ οἶδεν ὁ ποιητής. ἄλλοι δὲ μεθ' Ὅμηρον αὐτὸ ἱστοροῦσιν, ὧν καὶ Σοφοκλῆς || (II) Schol. Hom. φ 22 (696, 23 Dind.) τὸν γὰρ Ἰόλης ἔρωτα οὐκ οἶδεν ὁ ποιητὴς οὐδὲ ὡς ἀποτυχὼν τοῦ ἔρωτος τῆς Ἰόλης ἔκλεψε τὰς ἵππους Εὐρύτου || (III) Schol. Hom. φ 27 (697, 8 Dind.) οἱ δὲ νεώτεροί φασιν ὡς ὅτι αὐτὸν (sc. Ἴφιτον) ἀπὸ τοῦ τείχους κατέβαλεν || (IV) Eust. in Od. p. 1900, 15 οἱ δὲ νεώτεροι ἀπὸ τείχους καταβληθῆναι αὐτὸν (sc. Ἴφιτον) ὑφ' Ἡρακλέος φασίν || (V) Eust. in Od. p. 1899, 34 πόλιν Εὐρύτου Οἰχαλιῆος, ὃς καὶ φονεύεται ἢ ὑπὸ Ἀπόλλωνος, ἐπεὶ προεκαλεῖτο ἐκεῖνον εἰς τοξείαν . . ., ἢ ὡς οἱ νεώτεροί φασιν, ὑπὸ Ἡρακλέος διὰ τὸν τῆς θυγατρὸς ἐκείνου Ἰόλης ἔρωτα, ὃν καὶ Σοφοκλῆς ἱστορεῖ || (VI) Schol. Hom. φ 22 (696, 25 Dind.) Ἴφιτος Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος ἀπολομένων αὐτῶι τῶν ἵππων περιήιει τὰς πέριξ ἐρευνῶν

4 fons fr. 4 laudatur ap. fr. 3

4 *X* 48 Λαοθόη . . . κρείουσα | *Λ* 166 παλαιοῦ Δαρδανίδαο

3 2 *Ἀντιόπης* Bentley : *Ἀντιόχης* Schol. || 4 ap. Hom. *B* 518, Apoll. Rhod. 1, 208 Iphitus Nauboli filius, at ap. Hom. φ 14, Hes. fr. 26, 28ss M.-W. Euryti, unde hunc versum Creophylo dub. trib. M.-W. in ap. crit. || *Ἀντιόχη* Schol. : corr. Bentley, cf. Schol. Apoll. Rhod. 1, 87 (14, 14 Wendel) *Οἰχαλίης ἐπίουροι*] *παῖδες Ἀντιόπης*, Hygin. fab. 14, 8 *Clytius et Iphitus Euryti et Antiopes Pylonis filiae filii, reges Oechaliae, alii aiunt ex Euboea* (de hoc errore vid. adn. Rose ad loc. et Schol. Hom. *B* 730) | *παλαιοῦ* Hermann (cl. *Λ* 166) : *παλαιὸν γένος* Schol., quod grammatici explicationem recte credit Marcksch. : *Πύλωνος* Bentley ex Hygin. fab. 14 || 5 2 *Εὐρύτου Ἰόλης*] in Creophyli carmine fortasse inveniebantur epicae formulae *ξανθὴν Ἰόλειαν* (cf. Callim. ap. Test. 7, Hes. fr. 26, 31 M.-W.), *Εὐρύτου Οἰχαλιῆος* (*B* 596; 730), *Εὐρύτωι Οἰχαλιῆϊ* (*θ* 224), vid. Burkert, Mus. Helv. 29, 1972, 81 || cf. Schol. Soph. Trach. 354 (300, 24 Papageorgios) | de re cf. Apollodor. Bibl. 2, 6, 1–2; 2, 7, 7 || Seve., Cycle 192s Apollodori Pherecydisque fontem Creophyli carmen esse putat

πόλεις εἴ που φανεῖεν. Πολυίδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῶι μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῆι τινι καὶ στρατηγίαι συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος καὶ καταστρέψαι διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῶι τὸν ἆθλον τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν, ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν . . . ἡ ἱστορία παρὰ Φερεκύδηι (FGrHist 3 F 82).

°6

(I) Eust. in Il. p. 879, 12 *εἷλε δὲ κατά τινας τὴν Πύλον ὁ Ἡρακλῆς ὡς μὴ προσδεχθεὶς ὑπὸ τοῦ Νηλέως, ὅτε τὸν καὶ ἐν Ὀδυσσείαι δηλούμενον τοῦ Ἰφίτου φόνον παρ' αὐτῶι καθήρασθαι ἤθελε. τοῦτο δὲ τοῖς ἀκριβεστέροις οὐκ ἀρέσκει, διότι τε, φασίν, οὐκ οἶδεν Ὅμηρος φονέα καθαιρόμενον, ἀλλὰ ἢ ποινὴν τίνοντα ἢ φυγαδευόμενον* || (II) Schol. Hom. *Λ* 690a[1] (III 261 Erbse) *οὐ διὰ τὰ καθάρσια Ἰφίτου πορθεῖται ἡ Πύλος, ἐπεὶ πῶς Ὀδυσσεὺς μείζων Νέστορος; καὶ παρ' Ὁμήρωι οὐκ οἴδαμεν φονέα καθαιρόμενον, ἀλλ' ἀντιτίνοντα ἢ φυγαδευόμενον.*

°7

Schol. Hom. *Λ* 683a (III 258 Erbse) *ὅτι διαφωνοῦσιν οἱ νεώτεροι, τὸν Νηλέα λέγοντες ἀνῃρῆσθαι ὑφ' Ἡρακλέους, ὅτε τὴν Πύλον ἐπόρθησεν· φαίνεται γὰρ καθ' Ὅμηρον περιὼν καὶ μετὰ τὸ πορθηθῆναι· ὁ γὰρ πρὸς Ἠλείους πόλεμος τῶν Πυλίων μεταγενέστερος τοῦ πρὸς Ἡρακλέα.*

°8

Νέστωρ ⟨δ'⟩ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνωι.

°9 (4 K., A.)

(I) Schol. Eur. Med. 264 (II 160, 1 Schw.) *Δίδυμος* (366 Schmidt) *δὲ ἐναντιοῦται τούτωι καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· τὴν γὰρ Μήδειαν λέγεται διατρίβουσαν ἐν Κορίνθωι τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμά-*

8 (I) Steph. Byz. s. v. *Γερηνία* (205, 5 Mein.) *πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν πρώτωι Καταλόγων* [laud. fr. 35, 6–8 M.-W.] *ἀπὸ εὐθείας τῆς 'Γέρηνος', καὶ αὖθις·* [1] || (II) Eust. in Il. p. 231, 29 *λέγεται δὲ ἡ πόλις αὕτη* (sc. *Γερηνία*) *καὶ ἑνικῶς Γέρηνον, ὡς Ἡσίοδος·* [1], cf. Schol. Hom. *γ* 68

8 *Β* 555 *Νέστωρ δ' οἶος ἔριζεν* (*Θ* 80 *ἔμιμνε*) | *Β* 467 *ἐν . . . Σκαμανδρίωι ἀνθεμόεντι*

6 6 *ἐπεὶ πῶς* Erbse duce Wil. (*ἐπεί τοι πῶς*) : *ἐπεί τοι* Schol. || de re cf. *Σ* 498–500, *Β* 622–626 || Seve., Cycle 193ss haec in Oechaliae halosi narrata esse suspicatur || 7 Oechaliae halosi trib. et. Seve., Cycle 193ss || 8 ⟨*δ'*⟩ add. M.-W. | Hesiodo generaliter edd. tribuunt (cf. fr. 34 M.-W.) : Creophylo autem Schwartz, Pseudo-Hesiodeia 66; 343ss adn. 5; 351 adn. 6; Schwartz et. credidit e Creophyli carmine pendere Apollodor. Bibl. 2, 7, 3, Hygin. fab. 10 ubi corr. *Nestor in ⟨ex⟩ilio erat* | de re cf. et. Hes. fr. 35 M.-W., Paus. 3, 26, 8, Schol. Hom. *Α* 250 (Ludw., Textkr. Unt. II 1), *Ε* 392 (Ludw. III 8)

κοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθίσαι, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγον, ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε || (II) Apollodor. Bibl. 1, 9, 28 *λέγεται δέ, ὅτι φεύγουσα* (sc. *Μήδεια*) *τοὺς παῖδας ἔτι νηπίους ὄντας κατέλιπεν, ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς Ἀκραίας, Κορίνθιοι δὲ αὐτοὺς ἀναστάντες κατετραυμάτισαν.*

PISINVS

TESTIMONIVM

Clem. Alex. Strom. 6, 2, 25, 2

αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν, καθάπερ . . . Πείσανδρος ⟨*ὁ*⟩ (add. Dind.) *Καμιρεὺς Πεισίνου τοῦ Λινδίου τὴν Ἡράκλειαν.* cf. Pisand. Test. 5

PISANDER

TESTIMONIA

De Pisandro

1 Suda s. v. *Πείσανδρος* (IV 122, 11 Adler)

Πείσωνος καὶ Ἀρισταίχμας, Καμιραῖος ἀπὸ Ῥόδου. Κάμιρος γὰρ ἦν πόλις Ῥόδου. καί τινες μὲν αὐτὸν Εὐμόλπου τοῦ ποιητοῦ σύγχρονον καὶ ἐρώμενον ἱστοροῦσι, τινὲς δὲ καὶ Ἡσιόδου πρεσβύτερον, οἱ δὲ κατὰ τὴν λγʹ Ὀλυμπιάδα (648/5) *τάττουσιν. ἔσχε δὲ καὶ ἀδελφὴν Διόκλειαν. ποιήματα δὲ αὐτοῦ Ἡράκλεια ἐν βιβλίοις βʹ· ἔστι δὲ τὰ Ἡρακλέους*

9 6 *καθίσαι* Matthiae : *καθιεῖν* **B** || cf. Paus. 2, 3, 6, Aelian. V. H. 5, 21 || incertum utrum Creophylo Samio an Ephesio (FGrHist 417) hoc fr. tribuendum sit; historico trib. Wil., Herm. 15, 1880, 486; Gruppe, Gr. Myth. I, 1906, 579 adn. 9; Tolstoï, Rev. ét. gr. 43, 1930, 144 adn. 1; Schmid, Gr. Litt. III 357 adn. 9; Jac., Kreophylos 2, RE XI 2 (1922) 1710 et FGrHist 417 F 3; Burkert, Mus. Helv. 29, 1972, 82 adn. 35; Samio autem trib. Kink.; Allen; Rob., Heldens. 187; Séchan, Rev. ét. gr. 40, 1927, 266s; Dugas, Rev. ét. gr. 46, 1944, 9ss; Olmos Romera, Madrider Mitteilungen 18, Heidelberg 1977, 143 adn. 62, qui 'als Parallele zu dem Tod des Herakles' historiam in Oechaliae halosi narratam esse putat

ἔργα· ἔνθα πρῶτος Ἡρακλεῖ ῥόπαλον περιτέθεικε. τὰ δὲ ἄλλα τῶν ποιημάτων νόθα αὐτοῦ δοξάζεται, γενόμενα ὑπό τε ἄλλων καὶ Ἀριστέως τοῦ ποιητοῦ (*γόητος* Wil.). unde 'Eudoc'. 276

secundum Megaclidem ap. Ath. 12, 512f Stesichorus primus poeta fuit qui Herculi tribuerit clavam, leonis pellem arcumque; vid. etiam Hux., Greek epic 102. saec. VI vixisse Pisandrum credidit Wil., Eur. Herakl. [2]II, Berlin 1895 (Darmstadt 1984), 66s adn. 121

2 Theocr. Epigr. 22 (Anth. Pal. 9, 598 = 16 Gow-Page)

τὸν τοῦ Ζανὸς ὅδ' ὑμὶν υἱὸν ὡνὴρ
τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν οὐκ Καμίρου
χὤσσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
τοῦτον δ' αὐτὸν ὁ δᾶμος, ὡς σάφ' εἰδῇς,
ἔστασ' ἐνθάδε χάλκεον ποήσας
πολλοῖς μησὶν ὄπισθε κἠνιαυτοῖς.

canon duodecim Herculis laborum apud Pisandrum primum invenitur sec. Welck., Kl. Schr. I 83ss, Wil., Eur. Herakl. [2]II 57ss; contradixit Rob., Heldens. 437ss, qui Pherecydem canonis auctorem esse credit | vid. etiam F. Brommer, Herakles, Münster 1953, 53ss

3 Steph. Byz. s. v. *Κάμιρος* (351, 20 Mein.)

Πείσανδρος ὁ διασημότατος ποιητὴς Καμιρεὺς ἦν.

cf. *Καμιρεύς* ap. Paus. (frr. 2; 4), Schol. Pind. (frr. 3; 6), Epimer. Homer. (fr. 12); *Ῥόδιος* ap. Ps. Eratosth. (fr. 1 II), Schol. German. (fr. 1 III–IV), vid. et. Test. 4

4 Strab. 14, 2, 13 p. 655

Πείσανδρος δ' ὁ τὴν Ἡράκλειαν γράψας ποιητὴς Ῥόδιος.

cf. Strab. 15, 1, 8 (fr. 1 I), Ath. (fr. 5), ubi item *Ἡράκλεια* Pisandro tributa, vid. et. Zenob. (fr. 7 III) *ἐν τοῖς περὶ Ἡρακλέους*

5 Clem. Alex. Strom. 6, 2, 25, 2

αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν, καθάπερ . . . Πείσανδρος ⟨*ὁ*⟩ (add. Dind.) *Καμιρεὺς Πεισίνου τοῦ Λινδίου τὴν Ἡράκλειαν.*

cf. Telegon. Test. 3, Creoph. Test. 13, Pisin. Test., Panyas. Test. 7

6 Plut. De Herod. malign. 14 p. 857e

καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος οὐχ Ἡσίοδος οὐκ Ἀρχίλοχος οὐ Πείσανδρος οὐ Στησίχορος οὐκ Ἀλκμὰν οὐ Πίνδαρος Αἰγυπτίου λόγον ἔσχον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.

De canone Alexandrino

7 Procl. Vit. Hom. 2 Seve. (= Panyas. Test. 8)

ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος.

cf. Phot. Bibl. p. 319a 17 (V 156 Henry) = Procl. Chrest. 15 (I 2, 35 Seve.)

8 Tzetz. ad Hes. Op. p. 12 Gaisford (= Panyas. Test. 9)

γεγόνασι δὲ τούτων τῶν ποιητῶν ἄνδρες ὀνομαστοὶ πέντε, Ὅμηρος ὁ παλαιός, Ἀντίμαχος ὁ Κολοφώνιος, Πανύασις, Πείσανδρος ὁ Καμιρεύς καὶ ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος. unde Anecd. Gr. III 1461 in adn. Bekker ('Andronicus')

9 Anecd. Oxon. III 339, 31 Cramer (Tzetz. *περὶ διαφ. ποιητ.* 170 = Panyas. Test. 10)

πεντὰς δὲ τούτων ἐστὶν ἐξῃρημένη,
Ὅμηρος, Ἡσίοδος, Πανύ⟨α⟩σις τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι.

10 Tzetz. in Lycophr. Alex. 1, 23 Scheer (= Panyas. Test. 11)

γεγόνασι δὲ ὀνομαστοὶ ποιηταὶ πέντε· Ὅμηρος, Ἡσίοδος, Πανύασις, Ἀντίμαχος, Πείσανδρος, νέοι δὲ ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ.

Dion. Halicarn. Imit. 2, 2 et Quint. Inst. 10, 1, 52ss laudant tantum Hesiodum, Antimachum et Panyasin (vid. Panyas. Testt. 13–14); Photii autem cod. M Pisandrum omittit, unde Seve., Recherches I 2, 85, Pisandrum in canone Alexandrino non infuisse censet; vid. et. Radermacher, Kanon, RE X 2 (1919) 1875

11 Quint. Inst. 10, 1, 56

quid? Herculis ⟨f⟩acta (*Ebert*: acta *codd.*: athla *Wölfflin*) non bene Pisandros? ... nec ignoro igitur quos transeo nec utique damno, ut qui dixerim esse in omnibus utilitatis aliquid.

12 Ps.-Censorin. De mus. p. 71, 8s Sallmann

prior est musica inventione metrica. cum sint enim antiquissimi poetarum Homerus Hesiodus Pisander, hos secuti elegiarii Callinus *etc.*

De epigrammate Pisandro falso adscripto

13 Anth. Pal. 7, 304 *Πεισάνδρου Ῥοδίου* (vid. cod. Vat. lemma *τούτου τοῦ ἐπιγράμματος μέμνηται Νικόλαος ὁ Δαμασκηνὸς* [FGrHist 90 F 140] *ὡς ἀρίστου*)

ἀνδρὶ μὲν Ἱππαίμων ὄνομ' ἦν, ἵππωι δὲ Πόδαργος
καὶ κυνὶ Λήθαργος καὶ θεράποντι Βάβης·
Θεσσαλὸς ἐκ Κρήτης Μάγνης γένος, Αἵμονος υἱός·
ὤλετο δ' ἐν προμάχοις ὀξὺν Ἄρη συνάγων.

epigr. laudant Favorin. Cor. 39 (311, 3 Barigazzi = Dio Chrys. 37, 39, II 26 Arnim) et Pollux 5, 47 poetam non memorantes. hodie nemo Pisandro Camirensi hoc epigramma tribuit, de quo vid. de Falco, RIGI 15, 1931, 57ss

Sunt alia testimonia et fragmenta quae Pisandri nomine feruntur, quorum alia Pisandro Larandeo (cf. Heitsch, GDRK II 44ss), alia Pisandro mythographo (FGrHist 16) tribuenda, alia dubia sunt; vid. Legras, Lég. Theb. 35 adn. 2; Keydell, Hermes 70, 1935, 301ss; Peisandros 11, RE XIX 1 (1937) 144s; Jac., FGrHist I Komm. p. 544; Vian, Recherches 99s

ΠΕΙΣΑΝΔΡΟΣ

Camirensis — saec. VII

ΗΡΑΚΛΕΙΑ

1 (1 K.)

(I) Strab. 15, 1, 8 p. 688 *τῶν δὲ κοινωνησάντων αὐτῶι* (sc. *Ἡρακλεῖ*) *τῆς στρατειας* (sc. *τῆς ἐπ' Ἄορνον*) *ἀπογόνους εἶναι τοὺς Σίβας, σύμβολα τοῦ γένους σῴζοντας τό τε δορὰς ἀμπέχεσθαι, καθάπερ τὸν Ἡρακλέα, καὶ τὸ σκυταληφορεῖν καὶ ἐπικεκαυσθαι βουσὶ καὶ ἡμιόνοις ῥόπαλον . . . καὶ ἡ τοῦ Ἡρακλέους δὲ στολὴ ἡ τοιαύτη πολὺ νεωτέρα τῆς Τρωϊκῆς μνήμης ἐστί, πλάσμα τῶν τὴν Ἡράκλειαν ποιησάντων, εἴτε Πείσανδρος ἦν εἴτ' ἄλλος τις· τὰ δ' ἀρχαῖα ξόανα οὐχ οὕτω διεσκεύασται* || (II) ps. Eratosth. Catast. 12 (96, 5 Rob.) *Λέοντος] τινὲς δέ φασιν ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι. φιλοδοξῶν γὰρ μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξεν· λέγει δὲ περὶ αὐτοῦ Πείσανδρος ὁ Ῥόδιος, ὅθεν καὶ τὴν δορὰν αὐτοῦ ἔχειν ὡς ἔνδοξον ἔργον πεποιηκώς* || (III) Schol. German. Arat. p. 131 Breysig: Pisandrus Rhodius refert, eum (*sc.* leonem) ob primos labores Herculis memoriae causa honorifice astris inlatum || (IV) Schol. German. Arat. p. 71 Breysig: aliis placet, quod primus Herculis labor esset, memoriae honorificae traditum, ut ⟨ait⟩ Pisandrus Rhodius || (V) Hygin. Astr. 2, 24 nonnulli etiam hoc amplius dicunt, quod Herculis prima fuerit haec certatio, et quod eum inermis interfecerit. de hoc et Pisandrus et complures alii scripserunt.

1 de primo Herculis labore i. e. cum leone Nemeaeo pugna || **9** *περὶ τούτου* Rob. | *Πείσανδρος* Fell : *Πίνδαρος* C | *ὅθεν* 'Eudocia' : *ὅτι* libri || **10** *ἔσχεν* edd. || **11** Periandrus *codd.* || **14** add. Breysig | Periander *codd.*

2 (2 K.)

PAUS. 2, 37, 4 *κεφαλὴν δὲ εἶχεν* (sc. *ἡ ὕδρα*) *ἐμοὶ δοκεῖν μίαν καὶ οὐ πλείονας, Πείσανδρος δὲ ὁ Καμιρεύς, ἵνα τὸ θηρίον τε δοκοίη φοβερώτερον {τε} καὶ αὐτῶι γίνηται ἡ ποίησις ἀξιόχρεως μᾶλλον, ἀντὶ τούτων τὰς κεφαλὰς ἐποίησε τῆι ὕδραι τὰς πολλάς.*

3 (3 K.)

SCHOL. Pind. Ol. 3, 50b (I 119, 19 Drachm.) *θήλειαν δὲ εἶπε* (sc. *ἔλαφον*) *καὶ χρυσοκέρων ἀπὸ ἱστορίας· ὁ γὰρ ⟨τὴν⟩ Θησηΐδα γράψας* (fr. 2) *τοιαύτην αὐτὴν ⟨λέγει⟩ καὶ Πείσανδρος ὁ Καμιρεὺς καὶ Φερεκύδης* (FGrHist 3 F 71).

4 (4 K.)

PAUS. 8, 22, 4 *ἐπὶ δὲ τῶι ὕδατι τῶι ἐν Στυμφάλωι κατέχει λόγος ὄρνιθάς ποτε ἀνδροφάγους ἐπ' αὐτῶι τραφῆναι· ταύτας κατατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος δὲ αὐτὸν ὁ Καμιρεὺς ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν, ἀλλὰ ὡς ψόφωι κροτάλων ἐκδιώξειεν αὐτάς.*

5 (5 K.)

ATHEN. 11, 469c *Πείσανδρος ἐν δευτέρωι Ἡρακλείας τὸ δέπας, ἐν ὧι διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανόν, εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸ παρ' Ὠκεανοῦ ⟨τὸν⟩ Ἡρακλέα.*

6 (6 K.)

SCHOL. Pind. Py. 9, 185a (II 238, 3 Drachm.) *ὄνομα δὲ αὐτῆι* (sc. *τῆι Ἀνταίου θυγατρί*) *Ἀλκηΐς, ὥς φησι Πείσανδρος ὁ Καμιρεύς. ἕτεροι δὲ Βάκχην.*

7 (7 K.)

τῶι δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

7 (I) SCHOL. Aristoph. Nub. 1051a (200, 11 Holwerda) *οἱ δέ φασιν ὅτι τῶι Ἡρακλεῖ πολλὰ μογήσαντι περὶ Θερμοπύλας ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν· ὡς Πείσαν-*

7 1 *Α* 206 al. *α* 44 al. Hes. Th. 573 al. *θεὰ γλαυκῶπις Ἀθήνη* || 2 *Ξ* 6 al. *θερμὰ λοετρά* (cf. *θ* 249; 451) | *Β* 773 *παρὰ ῥηγμῖνι θαλάσσης* (*Α* 437 *δ* 430 *ἐπὶ ῥ. θ.*)

2 2 del. edd. | hydram laudat et. Hes. Th. 313 | iam *μυριόκρανον* illam appellat Eur. Her. 419 | cf. et. Panyas. fr. 6 || 3 de cerva Cerynea | vid. ad Thes. fr. 2 || 2 *ἱστορίας* Schubart : *Ἰστρίας* Schol. | add. Drachm. || 3 add. Boeckh | *Πείσανδρος* Boeckh : *Πίνδαρος* Schol. || de re cf. Wellmann, Hermes 51, 1916, 21s || 4 hanc narrationem sequuntur Pherecyd. FGrHist 3 F 72, Hellanic. FGrHist 4 F 104, Apoll. Rhod. 2, 1052 | vid. et. Apollodor. Bibl. 2, 5, 6 *χάλκεα κρόταλα δίδωσιν αὐτῶι Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα. ταῦτα κρούων ἐπί τινος ὄρους τῆι λίμνηι παρακειμένου τὰς ὄρνιθας ἐφόβει*, Diod. 4, 13, 2 et infra fr. °14 || 5 2 *Ὠκεανοῦ* Mus. : *Ὠκεανὸν* A | add. Kaib. | de Geryonei armenti rapina | de Solis calice vid. Titan. fr. 8, Panyas. fr. 9 || 6 de re cf. Pherecyd. FGrHist 3 F 76 et Jac. comm. ad loc., Apollodor. Bibl. 2, 5, 11 et Frazer comm. ad loc. || 7 1 *δ'* om. E | *θεὰ*] *θερμὰ* R || 2 *ποιεῖ* Cr : *ποίησε* rec. | *λουτρὰ* Cr | *παραὶ* Tr[2] | hos versus ad Cercopum historiam pertinere veri simillimum mihi videtur, cf. Herodt. 7, 176 *ἔστι δὲ ἐν τῆι ἐσόδωι ταύτηι θερμὰ λουτρά, ... καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι*, 7, 216 *κατὰ Κερκώπων ἕδρας*, cf. et. Hux., Greek epic 103s, Panyas. fr. 20 et comm. Matthews 96

8 (8 K.)

οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν.

9 (9 K.)

νοῦς οὐ παρὰ Κενταύροισι

10 (10 K.)

δικαιοτάτου δὲ φονῆος.

δρος· [1–2]; 1051 b *οἱ δέ φασιν τὴν Ἀθηνᾶν χαρίσασθαι τῶι Ἡρακλεῖ θερμὰ λουτρά· ὡς Πείσανδρος·* [1–2] || (II) TZETZ. in Aristoph. Nub. 1051 a (625, 7 Holwerda) *Ἡρακλεῖ πεπονηκότι πολλὰ τῶι γῆν καθαίρειν καὶ θάλασσαν Ἀθηνᾶ χαριζομένη θερμὰ λουτρὰ ἐν Θερμοπύλαις ἀνέδωκεν, ὥς φησι Πείσανδρος·* [1–2] | cf. et. 1051 b, THOM. TRICLIN. ad loc. (150 Koster) et ANON. recent. ad loc. (396 Koster) || (III) ZENOB. 6, 49 (Paroem. Gr. I 174, 21) *ἡ γὰρ Ἀθηνᾶ τῶι Ἡρακλεῖ ἀνῆκε πολλαχοῦ θερμὰ λουτρὰ πρὸς ἀνάπαυλαν τῶν πόνων, ὥς φησι καὶ Πείσανδρος* (Ruhnken : *Πίνδαρος* codd.) *ὁ ποιητὴς ἐν τοῖς περὶ Ἡρακλέους* | cf. DIOGENIAN. 5, 7 (Paroem. Gr. I 250, 3), HARPOCR. Lex. s. v. *Θερμοπύλαι* (152, 1 Dind.)

8 (I) STOB. Flor. 3, 12, 6 (III 445, 1 Hense) *Πεισάνδρου·* [1] || (II) APOSTOL. 13, 39 c (Paroem. Gr. II 582, 23) [1], *Πισάνδρου* || **9** (I) HESYCH. s. v. *νοῦς οὐ παρὰ Κενταύροισι. παροιμιῶδες. ἔστι δὲ Πεισάνδρου κομμάτιον, ἐπὶ τῶν ἀδυνάτων ταττόμενον* || (II) PHOT. Lex., SUDA s. v. *νοῦς οὐκ ἔνι Κενταύροις* (I 449 Naber et III 483, 11 Adler)· *παροιμία ἐπὶ τῶν ἀδυνάτων* (*καὶ ἀνοήτων* Suda) *ταττομένη* || (III) PHOT. Lex., SUDA s. v. *τάδ' οὐ παρὰ Κενταύροισιν* (II 197 Naber et IV 495, 21 Adler) *λεγόμενόν τι ἦν· Τηλεκλείδης †τισί* (*Ἡσιόδοις* corr. Mein., CGF I 88 : *τί σύ;* Porson : *τίσει* Edmonds; Telecl. fr. 45 Kock) || (IV) PHOT. Lex., SUDA s. v. *τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροις* (*-σι* Phot.) II 235 Naber et IV 578, 19 Adler || (V) APOSTOL. 16, 2 (Paroem. Gr. II 656, 3) *τάδ' οὐ παρὰ τοῖσι Κενταύροισι· λεγόμενόν τι ἦν· Τηλεκλείδηι τισὶ τῶν δυναστῶν* || (VI) DIOGENIAN. 6, 84 (Paroem. Gr. I 282, 12), APOSTOL. 12, 12 (Paroem. Gr. II 545, 5) *νοῦς οὐ παρὰ Κενταύροις· ἐπὶ τῶν ἐπιλησμόνων καὶ πλεονεκτῶν* | cf. MACAR. 6, 12 (Paroem. Gr. II 190, 7) || **10** OLYMPIOD. in Plat. Alc. 120 e (I 100 Westerink) *ἑκάτερος* (sc. *Περσεὺς καὶ Ἡρακλῆς*) *μὲν γὰρ ἐπὶ καθάρσει τῶν κακῶν γέγονεν, καὶ γὰρ καὶ ὁ Ἡρακλῆς· διό φησι περὶ αὐτοῦ ὁ Πείσανδρος·* [1]. *ἐπὶ γὰρ καθάρσει τοὺς φόνους ἐποίει*

8 *Γ* 156 al. *α* 350 *οὐ νέμεσις* | *Χ* 338 *λίσσομ' ὑπὲρ ψυχῆς* || **9** Teleclid. fr. 45 Kock *τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισιν* | Aristoph. Eq. 1121–1122 *νοῦς οὐκ ἔνι ταῖς κόμαις / ὑμῶν* | Plat. Com. fr. 174, 3 Kock *ὑμῖν γὰρ οὐδέν, καθάπερ ἡ παροιμία, / ἐν* (*πλὴν* Kaib.) *τῶι καπήλωι νοῦν ἐνεῖναί μοι δοκεῖ*

8 Pisandro Larandeo dub. trib. Heitsch, Die griech. Dichterfr. d. röm. Kaiserz. II 47 : sed haec in Cercopum historia a Pisandro Camireo enarrata dici posse censet Müller, cf. Dorians I, London 1839, 447 ss || **9** *οὐκ ἔνι* Phot. | *Κενταύροις* Phot. | probabiliter in Erymanthii apri historia loquitur Pholus, vid. Apollodor. Bibl. 2, 5, 4, Hux., Greek epic 104 | Pisandro Larandeo dub. trib. Heitsch, Die griech. Dichterfr. d. röm. Kaiserz. II 47 : Camirensi autem trib. Mein., CGF I 162 | proverbium a comicis poetis parodiatur, vid. loc. sim. || **10** cf. versionem Syriacam ap. Riv. Stud. Or. 7, 1916, 140 *haw qâṭôlâ k'enâ*; Furlani, Stud. It. Filol. Class. 4, 1925, 79 ss errat novum Pisandri fragmentum esse credens, cf. Keydell,

11

Athen. 11, 783c Πείσανδρος δέ φησιν Ἡρακλέα Τελαμῶνι τῆς ἐπὶ Ἴλιον στρατείας ἀριστεῖον ἄλεισον δοῦναι.

12 (11 K.)

ἀέ

FRAGMENTA DVBIA

°13

Schol. Apoll. Rhod. 1, 1195 (108, 21 Wendel) Πείσανδρος δέ φησι χαλκοῦν εἶναι τὸ ῥόπαλον Ἡρακλέους.

°14

Schol. Apoll. Rhod. 2, 1088 (205, 8 Wendel) πιθανῶς δὲ ὁ Πείσανδρος τοὺς ὄρνιθάς φησιν εἰς Σκυθίαν ἀποπτῆναι, ὅθεν καὶ ἐληλύθεσαν.

°15

Schol. Apoll. Rhod. 4, 1396 (315, 13 Wendel) Πείσανδρος τὸν δράκοντα (sc. τὸν Λάδωνα) ὑπείληφεν ἀπὸ τῆς Γῆς γεγενῆσθαι, Ἡσίοδος (fr. 391 M.-W.) δὲ ἐκ Τυφῶνός φησιν.

°16

Philodem. De piet. (P. Hercul. 1602 V 16ss in Hercul. vol. coll. alt. VIII 105, vid. et. Reitzenstein, Hermes 35, 1900, 74; Lippold, Philologus 68, 1909, 153) ὁ] Πείσανδρος [δὲ π]ερὶ Κλυμένης [ὅτι σ]υνερασθέν[των] .... ἐστιν .... καὶ .... τον ... quae praecedunt vid. ap. Cyp. fr. 2

12 Epimer. Homer. 52 B (I 126 Dyck) ἔστι δὲ καὶ ἀέ παρὰ Πεισάνδρωι τῶι Καμειρεῖ | cf. Et. Gud. s. v. ἀεί (I 25, 24 De Stefani), Greg. Corinth. 347 Schaefer

Hermes 70, 1935, 309s adn. 4; McLeod, Phoenix 20, 1966, 102 adn. 35 | de re cf. Gentili, Il mito Greco, Roma 1977, 299ss | Pisandro Larandeo trib. Wil., Hermes 60, 1925, 283s, cui Keydell, Hermes 70, 1935, 309, adstipulatus est, cf. Heitsch, Die griech. Dichterfr. d. röm. Kaiserz. II 47

11 de Herculis et Telamonis contra Troianos expeditione cf. Apollodor. Bibl. 2, 6, 4 et Frazer adn. ad loc. || 12 ἀέ verbum non epicum, ap. Pind. Py. 9, 88 vero invenitur || 13 1 ὁλόχαλκον P | Pisandro mythographo trib. Jac., FGrHist 16 F 4 || 14 mythographo trib. Jac., FGrHist 16 F 6, at Heracleae Schubart, Ephem. litt. Hal. 1840 I, 527 (vid. supra fr. 4) : contradixerunt Düntzer, Dübner || 15 2 Ἡσίοδος ⟨δὲ ἐκ Κητοῦς καὶ Φόρκυνος, Φερεκύδης⟩ δὲ Wendel in ap. crit. coll. FGrHist 3 F 16a : sed cf. M.-W. in ap. crit. || mythographo trib. Jac., FGrHist 16 F 8 || 16 mythographo trib. Jac., FGrHist 16 F 12 || 3 suppl. Reitzenstein | suppl. Lippold : [τῆς Ἡλι]ον ἐρασθέν[τα] Reitzenstein

°17

PHILODEM. De piet. (P. Hercul. 247 IV^b 5ss, p. 17 Gomperz, vid. et. Henrichs, Cr. Erc. 5, 1975, 8) *τὸν Ἀσκλ[ηπιὸν δ' ὑ]πὸ Διὸς κα[τακτα]θῆναι γέγρ[αφεν Ἡ]σίοδος* (fr. 51 M.-W.) *καὶ [Πείσαν]δρος καὶ Φε[ρεκύδης] ὁ Ἀθηναῖος* (FGrHist 3 F 35) *[καὶ Πανύ]ασσις* (fr. 26) *καὶ Ἄν[δρων]* (FGrHist 10 F 17) *καὶ Ἀκουσ[ίλαος* (FGrHist 2 F 18) *καὶ] Εὐριπίδ[ης ἐν οἷς] λέγει* [Alc. 3] *καὶ ὁ τ[ὰ Ναυ]πάκτια ποή[σας]* (fr. 11) *καὶ Τελέστ[ης ἐν Ἀσ]κληπιῶι* (fr. 3 Page).

PANYASIS

TESTIMONIA

De Panyaside

1 Suda s. v. *Πανύασις* (IV 24, 20 Adler)

Πολυάρχου, Ἁλικαρνασσεύς, {*τερατοσκόπος καὶ*} (ad alterum Panyas. Suda IV 25, 4 Adler rettulit Fabricius) *ποιητὴς ἐπῶν· ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ* (FGrHist 76 F 64) *Διοκλέους τε παῖδα ἀνέγραψε καὶ Σάμιον, ὁμοίως δὲ καὶ Ἡρόδοτος* (*Ἡρόδοτον* Wesseling : *Ἡρόδοτον τὸν* Krausse) *Θούριον. ἱστόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος· γέγονε γὰρ Πανύασις Πολυάρχου, ὁ δὲ Ἡρόδοτος Λύξου τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ Ῥοιὼ τὴν μητέρα Ἡροδότου Παννάσιδος* (*Πολυάρχου* Heyse, Krausse) *ἀδελφὴν ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη' Ὀλυμπιάδα* (468/5), *κατὰ δέ τινας* (*οὐ* add. Daub) *πολλῶι πρεσβύτερος· καὶ γὰρ ἦν ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ' Ὅμηρον, κατὰ δέ τινας καὶ μετὰ Ἡσίοδον καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ Ἡρακλειάδα ἐν βιβλίοις ιδ' εἰς ἔπη ͵θ', Ἰωνικὰ ἐν πενταμέτρωι, ἔστι δὲ τὰ περὶ Κόδρον καὶ Νηλέα καὶ τὰς Ἰωνικὰς ἀποικίας, εἰς ἔπη ͵ζ'.*

de Panyasidis et Herodoti propinquitate cf. Okin, Echo du Monde Classique 26, 1982, 21 ss

17 2 suppl. Nauck-Gomperz | *κα[τακτα]θῆναι* Körte : *κα[θαιρε]θῆναι* Dietze : *κε[ραυνω]θῆναι* Gomperz | *γέγρ[αφεν Ἡ]σίοδος* suppl. Nauck-Gomperz || 3 *καὶ [Πείσαν]δρος* Schober : *κὰν[αξίμαν]δρος* Wil. : *καὶ [Πίν]δαρος* Nauck-Gomperz || 3–4 suppl. Nauck-Gomperz || 4 *δοσις* delin. || 4–5 suppl. Gomperz-Bücheler || 5–6 suppl. Nauck || de re cf. ad. Naup. fr. 11

2 Suda s. v. *Χοιρίλος* (IV 834, 25 Adler)

γενέσθαι δὲ κατὰ Πανύασιν τοῖς χρόνοις, ἐπὶ δὲ τῶν Περσικῶν, Ὀλυμπιάδι οε′ (480/77), *νεανίσκον ἤδη εἶναι.* quae praec. vid. ad Choer. Test. 1

3 Suda s. v. *Ἀντίμαχος* (I 237, 29 Adler)

Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου. γέγονε δὲ πρὸ Πλάτωνος.

4 Euseb. Chron. Ol. 72 (II 102 Schöne)

Πανύασις ποιητὴς ἐγνωρίζετο.

cf. Hieronym. (II 103 Schöne) Pannyasis poeta habetur inlustris

5 Epigr. Halicarnassium (Rhodi inventum) hodie Berolini, saec. II/I a. Ch., prim. ed. Fr. Hiller v. Gaertringen, IG XII 1, 145; textum quem hic exhibemus ectypo usus restituit J. Ebert, Philologus 130, 1986, 41

- - - - - - - - - - - - - - - - - - - -

λ̣ά̣ι̣ν̣ο̣[ν Ἀ]σσυρίη [χῶμ]α Σεμι[ρά]μιος·
ἀλλ' Ἄ̣ν̣δ̣ρωνα̣ οὐκ ἔσχε Νίνου πόλις, οὐδὲ παρ' Ἰνδοῖς
ῥ̣ι̣ζοφυὴς Μουσέων πτόρθος ἐνετρέφετο,
[κοὐ] μ̣ὴ̣ν Ἡροδότου γλύκιον στόμα καὶ Πανύασσιν
ἡ̣[δυ]ε̣π̣ῆ̣ Βαβυλὼν ἔτρεφεν ὠγυγίη,
ἀ̣λλ' Ἁλικαρνασσοῦ κραναὸν πέδον· ὧν διὰ μολπὰ̣ς̣
κ̣λ̣ει̣τ̣ὸν ἐν Ἑλλήνων ἄστεσι κῦδος ἔχει.

6 Inscr. in effigie Panyasidis (Mus. Neapol. inv. n. 6152, saec. I a. Ch., ed. I. Sgobbo, Rend. Acc. Arch. Nap. 46, 1971, 124)

Πανύασσις ὁ ποιητὴς {*ς′*} (secl. Sgobbo 137) *λυπηρότατός ἐστι.*

cf. quae de hac effigie et de Panyasidis vita disseruit Sgobbo 115ss

7 Clem. Alex. Strom. 6, 2, 25, 2

αὐτοτελῶς γὰρ τὰ ἑτέρων ὑφελόμενοι ὡς ἴδια ἐξήνεγκαν, καθάπερ ... *Πανύασίς τε ὁ Ἁλικαρνασσεὺς παρὰ Κρεωφύλου* (*Κλεοφύλου* cod.) *τοῦ Σαμίου τὴν Οἰχαλίας*| *ἅλωσιν.* quae praec. vid. ad Telegon. Test. 3 et Pis. Test. 5

De canone Alexandrino

8 Procl. Vit. Hom. 2 Seve. (= Pisand. Test. 7)

ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δ' εἰσὶ κράτιστοι Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος.

cf. Phot. Bibl. p. 319a 17 (V 156 Henry) = Procl. Chrest. 15 (I 2, 35 Seve.)

9 Tzetz. ad Hes. Op. p. 12 Gaisford (= Pisand. Test. 8)

γεγόνασι δὲ τούτων τῶν ποιητῶν ἄνδρες ὀνομαστοὶ πέντε, Ὅμηρος ὁ παλαιός, Ἀντίμαχος ὁ Κολοφώνιος, Πανύασις, Πείσανδρος ὁ Καμιρεὺς καὶ ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος. unde Anecd. Gr. III 1461 in adn. Bekker ('Andronicus')

10 Anecd. Oxon. III 339, 31 Cramer (Tzetz. *περὶ διαφ. ποιητ.* 170 = Pisand. Test. 9)

πεντὰς δὲ τούτων ἐστὶν ἐξῃρημένη,
Ὅμηρος, Ἡσίοδος, Πανύ⟨α⟩σις τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νεοί.

11 Tzetz. in Lycophr. Alex. 1, 23 Scheer (= Pisand. Test. 10)

γεγόνασι δὲ ὀνομαστοὶ ποιηταὶ πέντε· Ὅμηρος, Ἡσίοδος, Πανύασις, Ἀντίμαχος, Πείσανδρος, νέοι δὲ ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρηι.

12 Michael Italicus ap. Anecd. Oxon. III 189, 21 Cramer (cf. Seve., Recherches I 320)

εἶπον ἂν καὶ τίνες μὲν τοῦ ἔπους γεγόνασι κράτιστοι ποιηταί, ὧν ὁ Πανύασις γνωριμώτατος μετὰ Ὅμηρον. plura invenies ap. Cycl. Test. 16

13 Dionys. Halic. Imit. 2, 2

Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς δι' ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς, Ἀντίμαχος δὲ εὐτονίας καὶ ἀγωνιστικῆς τραχύτητος καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς, Πανύασις δὲ τάς τε ἀμφοῖν ἀρετὰς εἰσηνέγκατο καὶ αὐτὸς πραγματείαι καὶ τῆι κατ' αὐτὸν οἰκονομίαι διήνεγκεν.

14 Quint. Inst. 10, 1, 52–54

raro adsurgit Hesiodus magnaque pars eius in nominibus est occupata, tamen utiles circa praecepta sententiae, levitasque verborum et compositionis probabilis, daturque ei palma in illo medio genere dicendi. contra

in Antimacho vis et gravitas et minime vulgare eloquendi genus habet laudem. sed quamvis ei secundas fere grammaticorum consensus deferat, et adfectibus et iucunditate et dispositione et omnino arte deficitur, ut plane manifesto appareat quanto sit aliud proximum esse, aliud secundum. Panyasin, ex utroque mixtum, putant in eloquendo neutrius aequare virtutes, alterum tamen ab eo materia, alterum disponendi ratione superari.

de altero Panyas. Halic. onirocrita cf. Suda s. v. *Πανύασις* (IV 25, 4 Adler), Artem. Dald. Onirocr. 1, 2; 64; 2, 35; Stoessl, Panyassis 2, RE XVIII 3 (1949) 922s; Del Corno, Graecorum de re onirocritica scriptorum reliquiae, Milano 1969, 121s

ΠΑΝΥΑΣΙΣ

Halicarnasseus — saec. V

ΗΡΑΚΛΕΙΑ

1 (22 K.)

PAUS. 9, 11, 2 *ἐπιδεικνύουσι δὲ* (sc. *οἱ Θηβαῖοι*) *Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἱμεραῖος* (fr. 53 Page) *καὶ Πανύασσις ἐν τοῖς ἔπεσιν ἐποίησαν. Θηβαῖοι δὲ καὶ τάδε ἐπιλέγουσιν, ὡς Ἡρακλῆς ὑπὸ τῆς μανίας καὶ Ἀμφιτρύωνα ἔμελλεν ἀποκτιννύναι, πρότερον δὲ ἄρα ὕπνος ἐπέλαβεν αὐτὸν ὑπὸ τοῦ λίθου τῆς πληγῆς· Ἀθηνᾶν δὲ εἶναι τὴν ἐπαφεῖσάν οἱ τὸν λίθον τοῦτον ὅντινα Σωφρονιστῆρα ὀνομάζουσιν.*

2 (15 K.)

Παρνησσὸν νιφόεντα θοοῖς διὰ ποσσὶ περήσας
ἵκετο Κασταλίης Ἀχελωΐδος ἄμβροτον ὕδωρ.

2 PAUS. 10, 8, 9 *Πανύασσις δὲ ὁ Πολυάρχου πεποιηκὼς ἐς Ἡρακλέα ἔπη θυγατέρα Ἀχελῴου τὴν Κασταλίαν φησὶν εἶναι· λέγει γὰρ δὴ περὶ τοῦ Ἡρακλέους·* [1–2]

2 1 Hymn. Apoll. 282 *Παρνησὸν νιφόεντα* | Soph. Oed. R. 473–475 *νιφόεντος . . . Παρνασσοῦ* | Apoll. Rhod. 1, 183 *θοοὺς . . . πόδας* || 1–2 Hes. Op. 737–738 *καλλίρροον ὕδωρ / ποσσὶ περᾶν* || 2 Titan. fr. 4, 2 *ὕδατος ἀμβροσίοιο* | Hymn. ap. Vitam Hom. Herodoteam 9 (7, 1 Wil.) *ἀμβρόσιον . . . ὕδωρ* (cf. Pind. fr. 198b Sn.-Maehl.) | Pind. fr. 75, 16 Sn.-Maehl. *ἀμβρόταν χθόν'*

2 post Herculis filiorum mortem et ante laborum enarrationem hoc fr. recte locat Matthews monente Müller et coll. Hygin. fab. 32, Serv. in Aen. 8, 299 || 2 *Ἀχελωΐδος* 'Oceani filiae', cf. fr. 31 et Schol. Hom. *Φ* 195 (VI 347, 6 Maass) *τὸν γὰρ αὐτὸν Ὠκεανῷ Ἀχελῷόν φασιν*

3 (16 K.)

τλῆ μὲν Δημήτηρ, τλῆ δὲ κλυτὸς ἀμφιγυήεις,
τλῆ δὲ Ποσειδάων, τλῆ δ' ἀργυρότοξος Ἀπόλλων
ἀνδρὶ παρὰ θνητῶι θητευσέμεν εἰς ἐνιαυτόν,
τλῆ δὲ ⟨καὶ⟩ ὀβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης.

4 (1 K.)

δέρμα τε θήρειον Βεμβινήταο λέοντος.

5 (2 K.)

καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος.

3 Clem. Alex. Protr. 2, 35, 3 *Πανύασσις γὰρ πρὸς τούτοις καὶ ἄλλους παμπόλλους ἀνθρώποις λατρεῦσαι θεοὺς ἱστορεῖ ὧδέ πως γράφων·* [1–4] *καὶ τὰ ἐπὶ τούτοις* || 4 Steph. Byz. s. v. *Βέμβινα* (162, 6 Mein.) *κώμη τῆς Νεμέας. Ἑλλάνικος* (FGrHist 4 F 102) *δὲ Βέμβινον καὶ πόλιν φησίν. ὁ πολίτης Βεμβινίτης ὡς Σταγειρίτης, παρὰ δὲ Ῥιανῶι* (FGrHist 265 F 53 = fr. 7 Powell) *Βεμβινάτης. ἔοικεν οὖν ⟨ὡς⟩* (add. Gavelius) *Αἰγινάτης καὶ Αἰγινήτης κατὰ τροπήν, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτηι·* [1] || 5 pergit fr. 4 *καὶ ἄλλως·* [1]

3 1–4 *Ε* 385–392–395 *τλῆ μὲν ... τλῆ δ' ... τλῆ δ'* || 1 *Σ* 614 Hes. Op. 70 al. *κλυτὸς ἀμφιγυήεις* || 2 *Β* 766 al. *η* 64 al. Hymn. Merc. 327 al. Hes. fr. 185, 9 M.-W. *ἀργυρότοξος Ἀπόλλων* || 3 Hymn. Hom. 19, 33 *ἀνδρὶ παρὰ θνητῶι* (plu. Hes. Th. 967 al.) | *Φ* 444 *θητεύσαμεν εἰς ἐνιαυτόν* || 4 Hes. Th. 140 *Ἄργην ὀβριμόθυμον,* Hymn. Hom. 8, 1–2 *Ἄρες ... / ὀβριμόθυμε* | *β* 110 Hes. Th. 517 Cyp. fr. 9, 3 *ὑπ' ἀνάγκης* (cf. Theogn. 195 Bacchyl. 11, 46) || 4 cf. ad fr. 5 || 5 Apoll. Rhod. 4, 1438 *δέρμα πελωρίου ... λέοντος* | *Κ* 23 al. Theocr. 25, 277 *δέρμα λέοντος*

3 1 de voce *ἀμφιγυήεις* (sc. Vulcanus) vid. Humbach, Studi Pisani II, Brescia 1969, 569ss || 3 *θητευσέμεν* codicum lectio quibusdam edd. suspecta : *θητευέμεν* Sylb. : *θητεύσαμεν* Müller : *θῆσαι μέγαν* Mein., at cf. McLeod, Phoenix 29, 1975, 201; Giangrande, Liverp. Class. Monthly 2, 1977, 203; Hoekstra, Mnemosyne 30, 1977, 196 | – *ἀνδρὶ ... θήτευσ' ὁ μὲν εἰς ἐνιαυτόν* – Ebert || 4 *δ'* **P** | add. Sylb. | *ἀνάγκηι* Düntzer, sed cf. Giangran | dequidam cum Hercule loquitur, sec. plurimos interpretes hic Omphales servus est, sed Eurysthei sec. Stoessl, Panyassis 1, RE XVIII 3 (1949) 886 et Matthews 92, qui Mercurium vel Minervam vel Pythiam esse loquentem putat (contra McLeod, Phoenix 20, 1966, 102 adn. 34) || 4 *θήριον Μεμβινήταο* **R** | de voce *Βεμβινήτης* vid. Pf., Philologus 87, 1932, 210, cf. et *Βεμβιναίους* ap. [Theoc.] 25, 202 | verba Eurysthei sec. Tzschirner, Panyas. 43 coll. Apollodor. Bibl. 2, 5, 1 *ἐπέταξεν αὐτῶι τοῦ Νεμέου λέοντος τὴν δορὰν κομίζειν,* sed Herculis indumenti descriptio sec. Müller, The Dorians, Oxford 1830, I 533, Dübner || 5 cum fr. 4 coniunxit Wil., Hom. Unters. 142 adn. 4 et unum versum restituit *δέρμα τε θήρειον Βεμβινήταο πελώρου,* at cf. Matthews 43; hunc versum Callimacho trib. Pf., Philologus 87, 1932, 210 (sed in editionem suam non inclusit) : Rhiano Hux., Greek epic 200

6 (3 K.)

(I) PS. ERATOSTH. Catast. 11 (88, 13 Rob.) *καρκίνος. οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι δι' Ἥραν, ὅτι μόνος, Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων ὅτε τὴν ὕδραν ἀνήιρει, ἐκ τῆς λίμνης ἐκπηδήσας ἔδακεν αὐτοῦ τὸν πόδα, καθάπερ φησὶ Πανύασις ἐν Ἡρακλείαι· θυμωθεὶς δ' ὁ Ἡρακλῆς δοκεῖ τῶι ποδὶ συνθλάσαι αὐτόν, ὅθεν μεγάλης τιμῆς τετύχηκε καταριθμούμενος ἐν τοῖς ιβ' ζωιδίοις* || (II) SCHOL. German. Arat. p. 70 Breysig (88, 13 Rob.) cancer ⟨in⟩ astris positus esse dicitur beneficio Iunonis, quod, cum Hercules cum hydra ad fontem Lernaeum depugnaret, hic cancer Herculis pedem morsu deprehendit, ut Panyasis auctor dicit. quem iratus Hercules calcatum contrivit beneficioque Iunonis magnis honoribus decoratus XII signorum numero adnumeratur || (III) SCHOL. German. Arat. p. 128 Breysig (89, 13 Rob.) cancrum namque ideo fabulae locatum inter astra aiunt, quoniam Herculem aliis auxiliantem et hydriam de fonte Lernaea auferentem saliens in pede percusserit, sicut ait Panyasis in Heraclea.

7 (4 K.)

τοῦ κεράσας κρητῆρα μέγαν χρυσοῖο φαεινὸν
σκύπφους αἰνύμενος θαμέας ποτὸν ἡδὺν ἔπινεν.

8 (5 K.)

καί ῥ' ὁ μὲν ἐκ κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης.

9 (7 K.)

(I) ATHEN. 11, 469c *Πείσανδρος ἐν δευτέρωι Ἡρακλείας* (fr. 5) *τὸ δέπας, ἐν ὧι διέπλευσεν ὁ Ἡρακλῆς τὸν Ὠκεανόν, εἶναι μέν φησιν Ἡλίου, λαβεῖν δ' αὐτὸ παρ' Ὠκεα-*

7 ATHEN. 11, 498d *Πανύασσις τρίτωι Ἡρακλείας φησίν·* [1–2] || 8 SCHOL. Pind. Py. 3, 177b (II 87, 16 Drachm.) *ἄλλως· Θυώνηι τῆι Σεμέληι· διωνυμίαι γὰρ ἐκέχρητο. εἰσὶν οἳ καὶ τὴν αὐτὴν Διώνην λέγουσιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνηι·* [fr. 177 Nauck[2]]. *ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι, τροφὸν τοῦ Διονύσου, ὥσπερ Πανύασις ἐν τρίτωι Ἡρακλείας·* [1]

7 1 *γ* 393 al. *κρητῆρα κεράσσατο* | *Γ* 247 *κρητῆρα φαεινόν* | Hes. Sc. 142 *χρυσῶι τε φαεινῶι* || 2 Stesich. S 19 Page *σκύφιον δὲ λαβὼν δέπας . . . / πί' ἐπισχόμενος, τό ῥά οἱ παρέθηκε Φόλος κεράσας* || 8 *I* 634 al. *ε* 195 al. *καί ῥ' ὁ μέν* | Apoll. Rhod. 1, 1361 *ἐκ κόλποιο*

6 2 *τοῦ Ἰολάου συμμαχοῦντος* Heyne, prob. Gale : *τῶν περὶ Ἰόλαον συμμαχούντων* Koppiers | de Iolao Minervaque Herculem adiuvantibus sec. Vogel, prob. Matthews, cf. Hes. Th. 317s || 6 add. Wil. || 7 Lernaeum *scripsi* : Laernium *codd.* || 11 quoniam – 12 auxiliantem '*perperam intellexit Epitomen*' *Rob.* || 12 Lernaea *Wil.* : Neraida **G** | de hydra cf. Pis. fr. 2 || 7 1 *φαεινοῦ* dub. Kink. || 2 *αἰνυμένους θαμεὰς* **A** | *ἡδὺν ἔνειμεν* Köch. | de Hercule apud Pholum cf. Stesich. S 19 Page, Apollodor. Bibl. 2, 5, 4 || 8 *ἐγκόλποιο* **P** | *ποσὶ* **DQ** | Thyone ap. Hom. Hymn. 1, 21, Apollodor. Bibl. 3, 5, 3 Bacchi mater, sed cf. Test. ad. fr. | e carmine in Bacchum in convivio – fortasse cum Pholo – cantato sec. Matthews, monente Tzschirner || 9 2 *Ὠκεανὸν* **A** : corr. Mus.

νοῦ ⟨τὸν⟩ Ἡρακλέα. μήποτε δέ, ἐπεὶ μεγάλοις ἔχαιρε ποτηρίοις ὁ ἥρως, διὰ τὸ μέγεθος παίζοντες οἱ ποιηταὶ καὶ συγγραφεῖς πλεῖν αὐτὸν ἐν ποτηρίωι ἐμυθολόγησαν. Πανύασις δ' ἐν πέμπτωι Ἡρακλείας παρὰ Νηρέως φησὶ τὴν τοῦ Ἡλίου φιάλην κομίσασθαι τὸν Ἡρακλέα καὶ διαπλεῦσαι εἰς Ἐρύθειαν || (II) Macrob. Sat. 5, 21, 19 poculo autem Herculem vectum ad *Ἐρύθειαν*, id est Hispaniae insulam, navigasse et Panyasis, egregius scriptor Graecorum, dicit et Pherecydes (FGrHist 3 F 18a) auctor est.

10 (8 K.)

Schol. Hom. *μ* 301 (549, 31 Dind.) *Νυμφόδωρος* (FGrHist 572 F 3) *ὁ τὴν Σικελίαν περιηγησάμενος καὶ Πολύαινος* (FGrHist 639 F 7) *καὶ Πανύασις φύλακα τῶν Ἡλίου βοῶν Φάλακρόν φησι γενέσθαι, ὃν Φιλοστέφανος* (FHG III 31) *Αἰόλου υἱδοῦν εἶναί φησι καὶ ἔχειν ἐν Μύλαις ἡρῶιον.*

11 (10 K.)

